§. 215. Πολεμικὰ καὶ δογματικὰ συγγράμματα.

Τὸ πλεῖστον τῶν πολεμικῶν συγγραμμάτων τοῦ ἁγίου Κυρίλλου ἐγράφησαν κατὰ τῆς κακοδοξίας τοῦ Νεστορίου. Τὸ μακρότατον αὐτῶν ἐστιν ἡ κατὰ τῶν Νεστορίου δυσφημιῶν πεντάβιβλος ἀντίρρησις[*]. Ἐν τῷ συγγράμματι τούτῳ ὁ ποιμὴν τῆς Ἀλεξανδρείας, μὴ μνημονεύων τοῦ ὀνόματος τοῦ Νεστορίου, ἀνασκευάζει τὰς πλάνας αὐτοῦ. Ὁ Φώτιος, λέγει, ὅτι ἐν αὐτῷ ὁ Κύριλλος «σαφέστερός ἐστι τοῦ πρὸς Ἑρμείαν καὶ τοῦ περὶ τῆς ἐν πνεύματι λατρείας· ὁ δὲ λόγος αὐτῷ πεποιημένος καὶ εἰς ἰδιάζουσαν ἰδέαν ἐκβεβιασμένος, καὶ οἷον λελυμένη καὶ τὸ μέτρον ὑπερορῶσα ποίησις» (1). Οἱ δύο τελευταῖοι πρὸς Ἑρμείαν διάλογοι ἐκτιθεῖσι τὴν ὑπόθεσιν αὐτῶν ἀκριβῶς καὶ μετ' ἰσχυρῶν κατὰ τοῦ Νεστορίου ἐλέγχων (2).

Ὡς πρὸς τὸ περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος μακρὸν σύγγραμμα, τὸ γνωστὸν ὑπὸ τὸ ὄνομα ἡ βίβλος τῶν θησαυρῶν[λ], ὁ Φώτιος λέγει τάδε: « Ἀνεγνώσθησαν Κυρίλλου οἱ θησαυροί. Ἐπιχειρηματικόν ἐστι τὸ βιβλίον, καὶ κατὰ τῆς

λαμεν τῷ τῆς μακαρίας μνήμης Κυρίλλῳ· καὶ ἀντέγραψε πάλιν ἡμῖν, καὶ ἀκρίβειαν ἡμῖν, καὶ διάθεσιν μαρτυρῶν· καὶ σώζεται ταῦτα τὰ γράμματα παρ' ἡμῖν» (ἐπ. πγ΄ πρὸς Διόσκορον Ἀλεξανδρείας). Σ. Μ.

[*] Ἄλλα συγγράμ. κατὰ Νεστ: ά] Ἐπίλυσις τῶν δώδεκα Κεφαλαίων. β΄] Σχόλια περὶ τῆς ἐνανθρωπήσεως τοῦ Μονογενοῦς. [Τὸ βιβλίου τοῦτο δικαίως θεωρεῖται ὡς κλεὶς πρὸς κατανόησιν τῆς διδασκαλίας τοῦ ἁγίου Κυρίλλου περὶ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου]. γ΄] Βραχεῖα ἐξέτασις περὶ τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ Λόγου, τοῦ Υἱοῦ τοῦ Πατρός. δ΄] Ἀπολογητικὸς ὑπὲρ τῶν δώδεκα Κεφαλαίων πρὸς τοὺς τῆς Ἀνατολῆς ἐπισκόπους. έ] Πρὸς τὴν παρὰ Θεοδωρήτου κατὰ τῶν δώδεκα Κεφαλαίων ἀντίρρησιν. ϛ΄] Ἀπολογητικὸς πρὸς τὸν εὐσεβέστατον βασιλέα Θεοδόσιον. Ἅπασαι αἱ ἐπιστολαὶ τοῦ ἁγ. Κυρίλλου (τὸν ἀριθμὸν 36) ἀναφέρονται εἰς τὴν πρὸς τὸν Νεστόριον ἔριν.

(1) Ἀνάγν. μδ΄.

(2) Τ. Ε΄ σελ. 660-778.

[λ] «Θησαυρὸς δὲ τῷ βιβλίῳ ὄνομα, λέγει ὁ θεῖος Πατὴρ ἐν τῷ

Ἀρείου καὶ Εὐνομίου λύσσης γενναίως καὶ πολυτρόπως ἀγωνιζόμενον. Καὶ γὰρ καὶ λογικαῖς ἐφόδοις ἐπιστημόνως αὐτῶν ἀπελέγχει τὴν ἄνοιαν, καὶ γραφικὰς αὐταῖς συμπλέκων καὶ συνυφαίνων χρήσεις πανταχόθεν τὸ σαθρὸν αὐτῶν στηλιτεύει τοῦ δόγματος. Τίθησι δὲ καὶ μαρτυρίας ἁπλῶς τῆς Γραφῆς ὁ θεσπέσιος Κύριλλος, εἰς ἀμηχανίαν αὐτῶν διὰ πάντων συγκλείων τὸ φρύαγμα. Ἔστι δὲ τῶν ἑαυτοῦ λόγων ἐνταῦθα, καὶ μάλιστα τοῖς ἔννοιαν λαβοῦσι τῶν λογικῶν ἐφόδων, σαφέστατος» (¹).

Δύο, οὐ πάνυ μακρά, δογματικὰ συγγράμματα, δηλονότι *τὸ περὶ τῆς ἁγίας καὶ ζωοποιοῦ Τριάδος* καὶ *τὸ περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως*, κατὰ τὴν μορφὴν αὐτῶν περιέχουσιν εἶδος κατηχητικῆς διδασκαλίας. Ταῦτα τὰ συγγράμματά εἰσι σπουδαῖα καὶ διότι ἐγράφησαν κατὰ τὰ τελευταῖα ἔτη τοῦ ἁγίου Κυρίλλου, ἐντεῦθεν δέ, καρπὸς ὄντα ὡρίμου καὶ πεπειραμένου νοῦ, περιέχουσιν ἀκριβεστάτην ἔκθεσιν τῶν ἐννοιῶν τοῦ θείου Πατρὸς καὶ περὶ ἐκείνων τῶν ὑποθέσεων τῆς πίστεως, περὶ ὧν ἀπεφαίνετο πρότερον οὐ μετὰ πλείστης ἀκριβείας (²). Τὸ σύγγραμμα *περὶ τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως*, μετὰ τὴν εἰσαγωγήν, περιέχει ἐν τοῖς κεφαλαίοις 2-7 διήγησιν τῶν γεγενημένων ὑπὸ Θεοῦ εἰς τὴν ἀνθρώπου εὐεργεσίαν ἀπ᾽ ἀρχῆς κόσμου· ἐν τῷ 8ῳ κεφαλαίῳ, διηγεῖται ὅτι φιλανθρωπίας γέμει ἡ τοῦ Θεοῦ ἐνανθρώπησις· ἐν τῷ 9ῳ ποιεῖται ἔλεγχον τῆς τῶν αἱρετικῶν ἀσεβείας· ἐν τῷ 10ῳ ἑρμηνείαν τοῦ: «*ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων*...» ἐν τοῖς 11-14 ἀπόκρισιν εἰς τὴν ἐρώτησιν: τίνος χάριν τὴν ἀνθρωπίνην φύσιν ὁ Θεὸς ἀνέλαβε Λόγος; Ἐν τοῖς 15-20 ἔλεγχον κατὰ τοῦ Ἀπολιναρίου· ἐν τῷ 21ῳ ἀπόδειξιν ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς τῆς τῶν φύσεων διακρίσεως καὶ τῆς τοῦ Λόγου ἑνώσεως· ἐν τῷ 22ῳ, ὅτι ὁ Ἰησοῦς Χριστὸς καὶ Θεὸς Λόγος καὶ ἄνθρωπος λέγεται· ἐν τῷ 23ῳ ὁμιλεῖ περὶ τῆς ἀρρήτου τῆς Παρθένου γεννήσεως· ἐν τοῖς 24-26 ποιεῖται διήγησιν ἐν κεφαλ. τῆς μετὰ τὴν Γέννησιν τοῦ Χριστοῦ πολιτείας· ἐν τοῖς 27-28 ἀνάπτυξιν τοῦ τίς τῶν Δεσποτικῶν Παθημάτων ἡ αἰτία· ἐν τῷ 29ῳ ἀπόδειξιν ἐκ τῶν ἀποστολικῶν συγγραμμάτων περὶ τῆς τελείας τοῦ

προλόγῳ, πολλὴν ἔχοντι τῶν θείων θεωρημάτων τεθησαυρισμένην ἐν ἑαυτῷ τὴν πληθύν». Σ. Μ.

(¹) Ἀνάγν. ρλς΄.

(²) Βλ. σελ. 151, σημ. 3. σελ. 161. σημ. 1.

ἀνθρώπου φύσεως· ἐν τῷ 30ῳ ὅτι Υἱὸς ἡ τοῦ δούλου μορφὴ διὰ τὴν συνάφειαν ὡσαύτως προσαγορεύεται· ἐν τῷ 31ῳ ὅτι δύο μέν εἰσι φύσεις, ἓν δὲ τὸ πρόσωπον τοῦ Χριστοῦ· ἐν τῷ 32ῳ ὅτι οὐ κρᾶσιν λέγειν ὅσιον, ἀλλ' ἕνωσιν ἐπὶ τοῦ Χριστοῦ· ἐν τῷ 33ῳ ὅτι τῆς ἡμετέρας φύσεως ἡ εἰς οὐρανοὺς ἀνάληψις τὰς τοῦ Πνεύματος δωρεὰς ἡμῖν προεξένησε· ἐν τῷ 34ῳ προτροπὴν εὐχαριστίας καὶ ἀποτροπὴν περιουσίας, καὶ ἐν τῷ 35ῳ ὅτι χρὴ Θεοτόκον καὶ ἀνθρωποτόκον λέγειν.

Ἔχων τις ὑπ' ὄψει τὴν ἱστορίαν τῆς πρὸς τὸν Νεστόριον πάλης τοῦ ποιμένος τῆς Ἀλεξανδρείας, δύναται ἐννοῆσαι ῥαδίως α'] διὰ τί ἐν τῷ συγγράμματι τούτῳ λέγονται πολλὰ κατὰ τοῦ Ἀπολιναρίου, καὶ β'] ὅτι ἡ σκληρὰ πεῖρα ἠνάγκαζε τὸν ζηλωτὴν τῆς ὀρθοδοξίας ἐκτιθέναι πεφυλαγμένως τὰς ὀρθοδόξους αὐτοῦ δοξασίας, λέγειν: «δύο μέν εἰσι φύσεις, ἓν δὲ τὸ πρόσωπον τοῦ Χριστοῦ», ἐνῷ πρότερον τὴν αὐτὴν δοξασίαν ἐξετίθει ὧδε: «μία γὰρ ἤδη νοεῖται φύσις μετὰ τὴν ἕνωσιν ἡ Αὐτοῦ τοῦ Λόγου σεσαρκωμένη, ὅπερ ἐπήνεγκεν αὐτῷ τοσαύτας θλίψεις, ἔπειτα δὲ ἔδωκε τοῖς ἀπερισκέπτοις ἀφορμὴν ἐρείδειν ἐπὶ τῆς μὴ ἀκριβοῦς ταύτης ἐκφράσεως τὴν ψευδῆ δοξασίαν περὶ μιᾶς ἐν τῷ Χριστῷ φύσεως. Ἡ προτέρα οὐκ ἀκριβὴς τοῦ Κυρίλλου ἔκφρασις συνίστατο ἐν τούτῳ, ὅτι ἀντὶ τῆς λέξεως πρόσωπον ἐχρήσατο τῇ λέξει φύσις(¹).

Σημειωτέον, ὅτι ὁ ἅγιος Κύριλλος ἐν ταῖς πρὸς τὸν Νεστόριον φιλονεικίαις αὐτοῦ ἡρμήνευεν οὐ μόνον τὴν ἀνάληψιν τῆς ἀνθρωπότητος ὑπὸ τῆς Θεότητος εἰς τὸ ἐν τῷ Χριστῷ Ἰησοῦ προσωπικὸν ἑνιαῖον, ἀλλὰ καὶ τὴν ἱλαστήριον σημασίαν Αὐτοῦ [*], τὴν διαφθορὰν

(¹) Τ. Β'. Κατὰ τῶν Νεστορίου δυσφημιῶν πεντάβ. ἀντίρρησ. σελ. 31. Ἐν τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ γράφει: «Ἡμεῖς γὰρ ἑνώσαντες ταῦτα (τὴν σάρκα καὶ τὸν Θεὸν Λόγον), ἕνα Χριστόν, ἕνα Υἱὸν τὸν αὐτόν, ἕνα Κύριον ὁμολογοῦμεν· καὶ λοιπὸν μίαν τὴν τοῦ Θεοῦ φύσιν σεσαρκωμένην». ap. Binium p. 445, 435. ἐπ. 35, 38, 39. Τ. Β' κατὰ τῶν Νεστορίου δυσφημιῶν πεντάβ. ἀντίρρησ. σελ. 31.

[*] Περὶ τῆς ἐνανθρωπήσεως ap. Maium T. VIII. p. 72. ὑπὲρ τῆς τῶν χριστ. εὐαγοῦς πίστ. πρὸς τὰ τοῦ ἐν ἀθέοις Ἰουλ. λόγ. ἢ ἐξήγ. ὑπομνημ. εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον λόγ. ζ' 30. ι' 4.

τῆς ἀνθρωπότητος ἐν τῷ Ἀδάμ (1), καὶ τὴν σωτήριον δύναμιν τῆς Εὐχαριστίας [*].

Ἡ κατηχητικὴ διδασκαλία περὶ τῆς ἁγίας καὶ ζωοποιοῦ Τριάδος ἐν 28 κεφαλαίοις περιέχει ἀκριβῆ ἔκθεσιν τῆς ἀποκεκαλυμμένης διδασκαλίας περὶ τῆς ὑψηλῆς ταύτης ὑποθέσεως τῆς πίστεως (2). Ἰδίας δὲ προσοχῆς ἀξία ἐστὶν ἐνταῦθα ἡ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος διδασκαλία «Κεφ. ιθ΄ περὶ τοῦ ἁ-

(1) Κατὰ τῶν Ν. δυσφ. Τ. Ε΄ Γλαφ. εἰς Ἀριθμ.

[*] Κατὰ τῶν Ν. δυσφ. Τ. Δ΄ σελ. 112 καὶ 113. ὁμιλ. Ά εἰς τὸν μυστικὸν Δεῖπνον· ἐξήγησ. ὑπομν. εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλ. σελ. 324, 354, 361, 363, 371, ἐπ. πρὸς Καλοσύριον, σελ. 365.

(2) Περίληψις τῶν κεφαλαίων. Μετὰ βραχεῖαν εἰσαγωγήν, κεφ. 1. ὅτι περὶ πολλοῦ ποιεῖται ὁ Θεὸς τὴν σωτηρίαν τῶν ἀνθρώπων· κεφ. 2. τίς ὁ χαρακτὴρ τοῦ ἐκκλησιαστικοῦ λόγου· κεφ. 3. ὅτι ὡς πρὸς εὐσεβεῖς ἡ διδασκαλία γενήσεται· κεφ. 4. ὁποίας δεῖ διαλήψεις ἔχειν περὶ τοῦ Θεοῦ καὶ Πατρός· κεφ. 5. ὁποῖα δεῖ περὶ τοῦ Υἱοῦ φρονεῖν· κεφ. 6. ὅτι τὸν Υἱὸν τῷ Πατρὶ συναΐδιον διδάσκουσιν αἱ Γραφαί· κεφ. 7. ἀπόδειξις ἐκ τῆς Παλαιᾶς, ὅτι ἀΐδιος ὁ Υἱός· κεφ. 8. ὅτι τὰ μὲν ἁρμόττει τῷ Θεῷ Λόγῳ, τὰ δὲ τῇ ἀναληφθείσῃ φύσει· κεφ. 9. περὶ τῆς ἐκ Θεοῦ γεννήσεως· κεφ. 10. τίς ἡ ἔννοια τῶν τοῦ Κυρίου ὀνομάτων· κεφ. 11. ὅτι οὐδεὶς οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ, καὶ οὐδεὶς οἶδε τὸν Πατέρα εἰ μὴ ὁ Υἱός· κεφ. 12. ὅτι ἴση τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἡ δύναμις· κεφ. 13. ὅτι πολλαχόθεν ἔστι μαθεῖν Πατρὸς καὶ Υἱοῦ τὴν ἰσότητα· κεφ. 14. ἀπόδειξις ἰσότιμον εἶναι τῷ Πατρὶ τὸν Υἱόν· κεφ. 15. ὅτι μία Πατρὸς καὶ Υἱοῦ ἡ φύσις· κεφ. 16. ὅτι πολλαχοῦ ὁ Κύριος μίαν Αὐτοῦ καὶ τοῦ Πατρὸς τὴν οὐσίαν ἐδίδαξε· κεφ. 17. ἑτέρα ἀπόδειξις, ἴσον εἶναι τὸν Υἱὸν τῷ Πατρί· κεφ. 18. ὅτι μία καὶ Πατρὸς καὶ Υἱοῦ ἡ δεσποτεία· κεφ. 19. περὶ τοῦ ἁγίου Πνεύματος· κεφ. 20. ὅτι Πατρὶ καὶ Υἱῷ τὸ Πνεῦμα συντάττεται· κεφ. 21. ἀπόδειξις τῆς τοῦ Πνεύματος δεσποτείας· κεφ. 22. ὅτι Δημιουργὸς ὁ Παράκλητος· κεφ. 23. ὅτι ἐκ Θεοῦ τὸ Πνεῦμα τὸ ἅγιον· κεφ. 24. ὅτι ὁ μέγας Ἀπόστολος Θεὸν οἶδε τὸ Πνεῦμα τὸ ἅγιον· κεφ. 25. ὅτι καὶ ὁ θεσπέσιος Πέτρος συνῳδὰ περὶ τοῦ Πνεύματος δέχεται· κεφ. 26. ἐκ πλειόνων ἀπόδειξις Θεὸν εἶναι τὸ ἅγιον Πνεῦμα· κεφ. 27. ὅτι ἀκτίστως ἐκ Θεοῦ τὸ Πνεῦμα τὸ ἅγιον, διὸ καὶ αἰώνιον καλεῖται· κεφ. 28. ἀνακεφαλαίωσις τῆς Πίστεως.

γίου Πνεύματος. Πιστεύομεν τοίνυν, ὡς ἔφην, εἰς Θεὸν Πατέρα Ἄναρχον, καὶ εἰς Θεὸν συναΐδιον φύσει Υἱόν, ἐκ Πατρὸς μὲν γεννηθέντα, ἀεὶ δὲ τῷ Πατρὶ συνόντα, κατὰ τὴν τῶν Εὐαγγελίων φωνήν· Ἐν ἀρχῇ γάρ, φησιν, ἦν ὁ Λόγος. Πιστεύομεν δὲ καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ εὐθές, τὸ ἡγεμονικόν, τὸ ἀγαθόν, τὸ Παράκλητον, τὸ ἐκ Θεοῦ προελθόν, οὐ γεννηθέν· εἷς γὰρ Μονογενής· οὔτε μὴν κτισθέν· οὐδαμοῦ γὰρ εὑρίσκομεν ἐν τῇ θείᾳ Γραφῇ τῇ κτίσει συναριθμούμενον, ἀλλὰ Πατρὶ καὶ Υἱῷ συντατόμενον· ἐκπορευόμενον δὲ Αὐτὸ ἐκ Πατρὸς ἠκούσαμεν, καὶ οὐ πολυπραγμονοῦμεν πῶς ἐκπορεύεται, ἀλλὰ στέργομεν τοῖς τεθεῖσιν ἡμῖν ὅροις ὑπὸ τῶν θεολόγων καὶ μακαρίων ἀνδρῶν». Ἐν τῷ κγ΄ κεφαλαίῳ τῷ ἐπιγραφομένῳ: ὅτι ἐκ Θεοῦ τὸ Πνεῦμα τὸ ἅγιον δείκνυσιν ὁ ἅγιος Κύριλλος διὰ λόγων τῆς Γραφῆς, ὅτι τὸ ἅγιον Πνεῦμά ἐστιν ἀληθὴς Θεὸς καὶ πρόσωπον κεχωρισμένον τοῦ Πατρός, καὶ ἐν τῷ τέλει γράφει: «Διὸ τὸ Πνεῦμα εἶπε τὸ ἐκ τοῦ Θεοῦ, διδάσκων ὡς ἐκ τοῦ Πατρὸς ἔχει ὕπαρξιν, κἀκείνης ὑπάρχει τῆς φύσεως, οὐδὲ γεννητικῶς, ἀλλ᾽ ὡς οἶδε μόνος ὁ τὸν Υἱὸν ἐπιστάμενος καὶ ὁ μόνος τὸν Πατέρα γινώσκων, καὶ τὸ μόνον Πατέρα καὶ Υἱὸν ἐπιστάμενον, ὃ ἐκ Θεοῦ μεμαθήκαμεν, τὸν δὲ τρόπον οὐκ ἐδιδάχθημεν. Ἀρκούμεθα δὲ τοῖς δοθεῖσι μέτροις τῆς γνώσεως, καὶ οὐ πολυπραγμονοῦμεν ἀγνοήτως τὰ ἀνέφικτα».

Ἡ διδασκαλία αὕτη τοῦ ἁγίου Κυρίλλου ἐστὶ σπουδαιοτάτη. Ἐνταῦθα αἱ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος δοξασίαι αὐτοῦ εἰσι τοιαῦται: α΄] εἰ ἡ ἁγία Γραφὴ διδάσκει περὶ τῆς σχέσεως τοῦ ἁγίου Πνεύματος πρὸς τὰ ἄλλα πρόσωπα τῆς Θεότητος, διδάσκει σαφῶς καὶ ὡρισμένως μόνον τοῦτο, ὅτι δηλαδὴ τὸ ἅγιον Πνεῦμα ἐκπορεύεται ἐκ τοῦ Πατρός· β΄] ἡ τοιαύτη δὲ διδασκαλία, κατὰ τοὺς λόγους αὐτοῦ, ὥρισται δι᾽ ὅρων τεθέντων ὑπὸ τῶν θεολόγων καὶ μακαρίων ἀνδρῶν, δηλ. ὑπὸ τῶν πρὸ αὐτοῦ ἀκμασάντων διδασκάλων τῆς Ἐκκλησίας· γ΄] ἡ φράσις δείκνυσιν, ὅτι ὁ θεσπέσιος Πατὴρ ὁμιλεῖ περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, λαβὼν ἀφορμὴν ἔκ τινος ἰδίου περιστατικοῦ, ἔχει δηλονότι ὑπ᾽ ὄψει τινὰ ἀναγκάσαντα αὐτὸν διασαφῆσαι τὴν ἑαυτοῦ δοξασίαν. Τὸ δὲ περιστατικὸν τοῦτό ἐστι γνωστόν. Ὁ μακάριος Θεοδώρητος ἐν ταῖς εἰς τοὺς Ἀναθεματισμοὺς τοῦ ἁγίου Κυρίλλου Ἀντιρρήσεσιν αὐτοῦ ἔγρα-

ψε κατὰ τοῦ ἐνάτου ἄρθρου, ἔνθα τὸ ἅγιον Πνεῦμα λέγεται ἴδιον αὐτοῦ (τοῦ Υἱοῦ), τάδε: «Ἴδιον δὲ τὸ Πνεῦμα τοῦ Υἱοῦ, εἰ μὲν ὡς ὁμοφυές, καὶ ἐκ Πατρὸς ἐκπορευόμενον ἔφη, συνομολογήσομεν, καὶ ὡς εὐσεβῆ δεξόμεθα τὴν φωνήν. Εἰ δὲ ὡς ἐξ Υἱοῦ, ἢ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχον, ὡς βλάσφημον τοῦτο, καὶ ὡς δυσσεβὲς ἀπορρίψομεν. Πιστεύσομεν γὰρ τῷ Κυρίῳ λέγοντι: Τὸ Πνεῦμα, ὃ ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· καὶ τῷ θειοτάτῳ Παύλῳ ὁμοίως φάσκοντι· ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ»(¹). Εἰ κατὰ τὰ ἄλλα οὐκ ὀρθῶς καὶ λίαν αὐστηρῶς καθήψατο τοῦ Κυρίλλου ὁ Θεοδώρητος, ὅμως ὡς πρὸς τὴν περὶ τοῦ ἁγίου Πνεύματος διδασκαλίαν ἡ γνώμη τοῦ Θεοδωρήτου ἦν ὀρθοτάτη καὶ ἐγένετο πάνυ ὠφέλιμος τῷ Κυρίλλῳ. Ὁ Θεοδώρητος ἐπικρίνων αὐστηρῶς τὸν Κύριλλον, εἶχεν ὑπ' ὄψει οὐ τοσοῦτον τὰς λέξεις τοῦ ἐνάτου Ἀναθεματισμοῦ τοῦ Κυρίλλου, ὅσον τὰς ἐν τῇ πρὸς τὸν Νεστόριον ἐπιστολῇ αὐτοῦ, ἧς ἐν τῷ τέλει ἔταξε τοὺς Ἀναθεματισμοὺς αὐτοῦ. Εἰπὼν δὲ ὁ Κύριλλος ἐν ταύτῃ τῇ ἐπιστολῇ, ὅτι τὸ Πνεῦμα οὐκ ἔστιν ἀλλότριον τοῦ Υἱοῦ, προσέθηκε: «καὶ προχεῖται παρ' Αὐτοῦ, καθάπερ ἀμέλει καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρός»· ἐν δὲ τῷ Ἀναθεματισμῷ τὸ Πνεῦμα τὸ ἅγιον καλεῖται μόνον Πνεῦμα τοῦ Υἱοῦ. Ὁ Κύριλλος καὶ ἐν ἄλλοις συγγράμμασι γραφεῖσι πρὸ τῆς ὑπὸ τοῦ Θεοδωρήτου γενομένης ἀνατροπῆς τῶν δώδεκα Ἀναθεματισμῶν, ἀπεφαίνετο κατὰ τὸν αὐτὸν τρόπον περὶ τοῦ ἁγίου Πνεύματος, ἡγούμενος, ἀλλὰ πάντῃ ματαίως, ἀποδεικνύειν τῇ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύσει τοῦ ἁγίου Πνεύματος τὴν θεότητα Αὐτοῦ· κατ' ἐξοχὴν δὲ πολλάκις ἐπανελάμβανε τοῦτο ἐν τῇ βίβλῳ τῶν θησαυρῶν, ἢ ἐν τῷ ἐκτεταμένῳ συγγράμματι περὶ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος(²). Ἀλλ' ὁ Ποιμὴν τῆς Ἀλεξανδρείας ἐπαύσατο φρονῶν

(¹) Τ. Δ' ed. Paris. 1672 p. 718.

(²) Ἅπας ὁ λδ' λόγος γέμει τῆς δοξασίας, ὅτι ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. Οὕτω λέγει ἐν σελ. 345: «ὅτε τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν γενόμενον, συμμόρφους ἀποδεικνύει Θεοῦ, πρόεισι δὲ καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ, πρόδηλον, ὅτι τῆς θείας ἐστὶν οὐσίας, οὐσιωδῶς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς προϊόν». Πρβλ. σελ. 339, 342, 343, 347, 358. κτλ. Τ. Δ' σελ. 1. Τὸ αὐτὸ ἀπαντᾷ ἐν τῷ βιβλίῳ περὶ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ

οὕτω μετὰ τὰς Ἀντιρρήσεις τοῦ Θεοδωρήτου. Ὁ Κύριλλος ἐν ταῖς εἰς αὐτὰς ἀποκρίσεσιν αὐτοῦ ἔγραψεν, ὅτι ὄντως ἐννοεῖ τὸ ἄρθρον τοῦτο τῆς πίστεως οὕτως, ὡς ἀπαιτεῖ ὁ Θεοδώρητος. Ἐν τῇ πρὸς τὸν Ἀντιοχείας Ἰωάννην ἐπιστολῇ, γιγνομένων τῶν περὶ διαλλαγῆς πρὸς τοὺς Σύρους ἐπισκόπους συζητήσεων, ὁ Κύριλλος ἔγραψε περὶ τοῦ ἁγίου Πνεύματος, «ὅτι ἐκπορεύεται μὲν ἐξ Αὐτοῦ (τοῦ Πατρός), ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον»(¹), καὶ ἔτι προστίθησιν αὐτὸ ἐκεῖνο, ὅπερ γράφει καὶ ἐν τῷ περὶ τῆς ἁγίας καὶ ζωοποιοῦ Τριάδος συγγράμματι αὐτοῦ, δηλ. λέγει, ὅτι ἕπεται ταῖς τῶν ἁγίων Πατέρων δόξαις ὡς πρὸς τὴν ὁμολογίαν τῆς πίστεως(²). Ἐν τῷ κατὰ Ἰουλιανοῦ συγγράμ. γραφέντι, ὡς ἅπαντες συμφωνοῦσι, μετὰ τὰ ἐν Ἐφέσῳ ψηφισθέντα, ποιεῖται ἐνιαχῇ λόγον περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, καὶ ἐνιαχῇ ἐκφράζεται περὶ Αὐτοῦ ὧδε: «Πρόεισι μὲν οὖν ἀρρήτως, ὡς ἔφην, ἐκ τοῦ Πατρὸς τὸ ζωοποιὸν ἅγιον Πνεῦμα· χορηγεῖται δὲ τῇ κτίσει δι' Υἱοῦ(³). Αὐτὸ τοῦτο λέγει καὶ ἐν τῇ ἐξηγήσει εἰς

προσκυνήσεως καὶ λατρείας. Τ. Ά σελ. 9. Βλ. καὶ ὑπόμνημ. ἐξήγ. εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον σελ. 910, 987.

(¹) Πρακτ. τῆς ἐν Ἐφ. Συν. Μ. Γ' κεφ. 3. «Ἦν γὰρ καί ἐστιν αὐτοῦ (τοῦ Χριστοῦ) τὸ Πνεῦμα, καθάπερ καὶ τοῦ Πατρός . . . ἐκπορεύεται μὲν γὰρ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, κατὰ τὴν τοῦ Σωτῆρος φωνήν, ἀλλ' οὐκ ἀλλότριόν ἐστι τοῦ Υἱοῦ».

(²) Τ. Έ σελ. 2, 108. «Καὶ κατ' οὐδένα δὲ τρόπον σαλεύεσθαι πρός τινων ἀνεχόμεθα τὴν ὁρισθεῖσαν πίστιν, ἤτοι τὸ τῆς πίστεως σύμβολον, παρὰ τῶν ἁγ. ἡμῶν Πατέρων, τῶν ἐν Νικαίᾳ συνελθόντων κατὰ καιρούς. Οὔτε μὴν ἐπιτρέπομεν ἑαυτοῖς, ἢ ἑτέροις, ἢ λέξιν ἀμεῖψαι τῶν ἐγκειμένων ἐκεῖσε, ἢ μίαν γοῦν παραβῆναι συλλαβήν, μεμνημένοι τοῦ λέγοντος: μὴ μέταιρε ὅρια αἰώνια, ἃ ἔθεντο οἱ πατέρες σου. Οὐ γὰρ ἦσαν αὐτοὶ οἱ λαλοῦντες, ἀλλ' αὐτὸ τὸ Πνεῦμα τοῦ Θεοῦ καὶ Πατρός. ὃ ἐκπορεύεται μὲν ἐξ αὐτοῦ, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον· καὶ πρός γε τοῦτο ἡμᾶς οἱ τῶν ἁγίων μυσταγωγῶν πιστοῦνται λόγοι . . .» Καὶ ὁ Θεοδώρητος ἐμαρτύρει, ὅτι ὁ Κύριλλος μετέβαλε τὰς περὶ τοῦ ἁγίου Πνεύματος ἐκφράσεις αὐτοῦ, καὶ ὅτι «τὰ νῦν ἀπεσταλμένα (γράμματα αὐτοῦ) τῇ εὐαγγελικῇ εὐγενείᾳ καλλύνεται» (ἐπ. ρξγ' πρὸς τὸν Ἀντιοχείας Ἰωάννην μετὰ τὰς διαλλαγάς).

(³) Ὑπὲρ τῆς χριστιανικῆς εὐαγοῦς θρησκείας πρὸς τὰ τοῦ ἐν ἀθέοις Ἰουλ.

τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον(1) καὶ ἐν τῇ ἑρμηνείᾳ τοῦ Συμβόλου(2). Ὀρθοτάτη δὲ ἡ διδασκαλία τοῦ ἁγίου Κυρίλλου περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου Πνεύματος, ἡ εὑρισκομένη ἐν τῷ περὶ τῆς ἁγίας καὶ ζωοποιοῦ Τριάδος συγγράμματι, ἅτε δὴ γραφέντι, ὡς αὐτὸς λέγει, μετ' ἰδιαζούσης προσοχῆς καὶ περιέχοντι τὴν ἐκκλησιαστικὴν διδασκαλίαν (3).

Λόγ. Δ' σελ. 147. Βλ. καὶ Λόγ. Β' σελ. 55. Ά 35. Ή 264. Ἐν τῷ τελευταίῳ λέγει: «Ὥστε κἂν εἴ τις ἕνα λέγει Θεόν, ἀλλ' οὐ δίχα τοῦ ἰδίου γεννήματος ἐννοήσει ποτὲ τὸν Πατέρα, οὔτε μὴν τοῦ κατὰ φύσιν ἐξ αὐτοῦ προχεομένου Πνεύματος, ὃ καί ἐστιν ἴδιον αὐτοῦ...»

(1) Ang. Maii Bibl. nov. Patr. T. II. p. 916. Ὁ Κύριλλος ἑρμηνεύων τοὺς λόγους τοῦ Σωτῆρος: «εἰ δὲ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια....» (Λουκ. ια' 19), γράφει: «Ὥσπερ οὖν δάκτυλος ἀπήρτηται τῆς χειρός, οὐκ ἀλλότριος ὢν αὐτῆς, ἀλλ' ἐν αὐτῇ φυσικῶς, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον τῷ τῆς ὁμοουσιότητος λόγῳ συνῆπται πρὸς ἕνωσιν τῷ Υἱῷ, κἂν ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορεύηται» (Τ. ἑ σ. 704). Οἱ λόγοι οὗτοί εἰσιν ἰδίως ἄξιοι σημειώσεως ἐν τῇ συγκρίσει αὐτῶν πρὸς τοὺς ἐν τῇ βίβλῳ τῶν θησαυρῶν, ἔνθα ἑρμηνεύονται οἱ λόγοι οὗτοι τοῦ Σωτῆρος, ἀλλ' οὐχὶ τοσοῦτον ὡρισμένως. Ἐνταῦθα εἴρηται: «Ἐν δὲ τῷ Υἱῷ φυσικῶς τε καὶ οὐσιωδῶς διῆκον παρὰ Πατρὸς τὸ Πνεῦμα» (σελ. 340), ὅπερ μετέφρασαν οἱ παπισταὶ ὡδί: Ex Filio naturaliter Spiritum Sanctum, sicut ex Patre pervenire credimus, τῆς ἐννοίας τοῦ θεσπεσίου Ποιμένος ἐχούσης οὕτω: «τὸ Πνεῦμα τὸ ἅγιον φυσικῶς τε καὶ οὐσιωδῶς ὂν ἐν τῷ Υἱῷ, πρόεισιν ἐκ τοῦ Πατρός». [Ἐν τῇ ἐκδ. τοῦ Migne ἡ λατ. μετάφρ. τοῦ χωρίου τούτου ἔχει ὧδε: Et in Filio naturaliter atque essentialiter procedere a Patre Spiritum Σ. Μ.] Ἴδ. σελ. 162. σημ. 2.

(2) «Ἐκπορεύεται καθάπερ ἀπὸ γῆς τοῦ Θεοῦ καὶ Πατρός, χορηγεῖται δὲ τῇ κτίσει διὰ τοῦ Υἱοῦ» (ἐπ. νε' εἰς τὸ ἅγιον Σύμβολον). Ἴδ. σελ. 151. σημ. 3.

(3) «Τὰς μὲν αἱρετικὰς βλασφημίας ἐν ἑτέροις ἤδη συγγράμμασι διηλέγξαμεν, χωρὶς ἑκάστην διαλαβόντες, καὶ τοῦ τῆς ἀπάτης γυμνώσαντες προκαλύμματος, καὶ γυμνὴν δείξαντες τὴν ἀσέβειαν· νῦν δὲ Θεοῦ διδόντος, τοῖς τροφίμοις τῆς πίστεως τὰ τῆς Ἐκκλησίας θεόσδοτα προσθήσομεν δόγματα· μήτε τῷ μήκει τοῦ λόγου κόρον τοῖς ἐντυγχάνουσιν ἐπεισάγοντες, μήτε τῇ βραχυλογίᾳ τὴν

Τὸ κατὰ Ἀνθρωπομορφιτῶν βιβλίον ἐγράφη δι' ἀνθρώπους ὁμοίους τοῖς ἐν Ῥωσσίᾳ σχισματικοῖς. Ἔνιοι τῶν ἐν Αἰγύπτῳ μοναχῶν ἔφασχον, ὅτι, ἐπειδὴ κατ' εἰκόνα Θεοῦ γενέσθαι τὸν ἄνθρωπον ἡ θεία λέγει Γραφή, χρὴ πιστεύειν, ὅτι ἀνθρωποειδές, ἤγουν ἀνθρωπόμορφόν ἐστι τὸ θεῖον. Ἐν τῇ πρὸς Καλοσύριον ἐπιστολῇ γράφει ὁ θεῖος Πατήρ, ὅτι ὁ ἄνθρωπος ἐπλάσθη ὄντως κατ' εἰκόνα Θεοῦ, ἀλλὰ τοῦτο οὐκ ἀναφέρεται εἰς τὸ ἀνθρώπινον σῶμα, τοῦ Θεοῦ ὄντως ἀσωμάτου πνεύματος. «Τὸ κατ' εἰκόνα, λέγει, Θεοῦ τὸν ἄνθρωπον πεποιῆσθαι ἑτέρας ἐμφάσεις καὶ ὑπονοίας ἔχει· μόνος γὰρ αὐτὸς παρὰ πάντα τὰ ἐπὶ τῆς γῆς ζῶα λογικός ἐστι, φιλοικτίρμων, ἐπιτηδειότητα πρὸς πᾶσαν ἔχων ἀρετήν». Οὐχ ἧττον, λέγει περαιτέρω, μωρὸν τὸ δοξάζειν, ὅτι δῆθεν ἀποβάλλει ἡ θεία Εὐχαριστία τὴν δύναμιν αὐτῆς, εἰ ἀπομένοι λείψανον αὐτῆς τὴν εἰς ἑτέραν ἡμέραν. Ἐν ταῖς 27 ἀποκρίσεσιν εἰς τὰς ἐρωτήσεις, τὰς προταθείσας παρὰ τοῦ διακόνου Τιβερίου (¹) λύει διαφόρους ἀπορίας τῶν αὐτῶν ἀνθρωπομορφιτῶν [λ]. Ἐν τῷ δευτέρῳ κεφαλαίῳ γράφει: «Ἐ-

ἀκρίβειαν παραφθείροντες, ἀλλ' ἀμφοτέρων τῶν ἄκρων τὴν μέσην αἱρούμενοι· ἵνα μήτε τῷ πλήθει τοὺς ἀκούοντας ἀποκναίσωμεν καὶ σαφῆ τὴν διδασκαλίαν τῆς θεογνωσίας προσοίσωμεν» . . . (Ang. Maii collect. Vet. auct. T. VIII. p. 29).

(¹) Τὴν πρὸς τὸν Κύριλλον ἐπιστ. τοῦ Τιβερίου καὶ τῆς ἀδελφότητος ἐξέδωκεν ὁ Βανδῖνος (Catal. cod. gr. Laur. p. 42)· ἐν δὲ τῇ ὑπὸ τοῦ Αουβέρτου γενομένῃ ἐκδ. τῶν συγγραμμάτων τοῦ Κυρίλλου οὐχ ὑπάρχει.

[λ] Τὸ κατὰ τῶν ἀνθρωπομορφ. βιβλ. ἐπιγράφεται ἐν πλείστοις κώδηξιν οὐκ ἀναρμόστως οὕτως: Ἐπιλύσεις δογματικῶν ζητημάτων Κυρίλλου ἐπιζητηθέντων παρὰ Τιβερίου διακόνου καὶ τῆς ἀδελφότητος. Coteler. Monum. Eccles. gr. T. III. p. 557. πρβλ. Tillemont. 1. c. Art. CLIV καὶ CLVII. (p. 662-63, 669). Ceillier 1. c. Chap. VIII. Art. II. §. IX (p. 358-365). Cas· Oudin. T. I. col. 1045-48. J. A. Fabric. Bibl. gr. Vol. IX. p. 472. Τοῦ βιβλίου τούτου ἡ αὐθεντία ἐστὶ πάνυ ἀμφίβολος διὰ πολλοὺς λόγους, κατ' ἐξοχὴν δέ, διότι οὐδεὶς τῶν ἀρχαίων ἐμνημόνευσεν αὐτοῦ. Ὁ σοφώτατος Πετάβιος ἀποφαίνεται περὶ αὐτοῦ ὧδε: «Non puto Cyrilli hunc esse librum, sed sentonem quemdam ex diversis fragmentis disparis arqumenti consarcinatum» (Dogm. Theolog. de Incarnat. l. IV. c. 9. n. 4). Σ. Μ.

χει δὲ ἡ φύσις ἐγκαταβεβλημένην ἑαυτῇ τὴν εἰς πᾶν ὁτιοῦν τῶν ἀγαθῶν ἔφεσίν τε καὶ προθυμίαν, καὶ τὸ θέλειν ἐπιμελεῖσθαι ἀγαθότητος καὶ δικαιοσύνης» [μ].

[μ] Δογματικά τινα συγγράμματα τοῦ ἁγίου Κυρίλλου διεσώθησαν μέχρις ἡμῶν μόνον ἐν σμικροῖς τεμαχίοις. Τοιαῦτα: α′] τὰ τρία βιβλία κατὰ Διοδώρου τοῦ Ταρσοῦ καὶ Θεοδώρου τοῦ Μοψουεστίας (Κυρ. ἐπιστ. 52. σελ. 197-98. Liber. diac. Breviar. caus. Vestor. et. Eutych. c. 10. Ἰουστ. ὁμολογ. τῆς πίστ. κατὰ τῶν τριῶν κεφαλαίων. Facund. Hermian. defens. 3. Capit. l. 3. c. 3, 6. l. 8. c. 6. Λεόντ. ὁ Βυζ. περὶ αἱρέσ. Πράξ. 4. §. 3 καὶ πρ. 8. §. 5. Πρβλ. Tillemont I. c. Art. CXLVI. p. 642-44. Fabric. Bibl. gr. vol. IX. p. 495). β′] ὁ λόγος κατὰ συνουσιαστῶν (Ἀπολιναριστῶν) (Εὐφρ. Ἀντιοχ. παρὰ Φωτ. ἀνάγν. σκθ′ σελ. 416. Ἰουστ. ἐπιστ. κατὰ Μονοφυσ. Ἀναστ. ὁ πρεσβ. Διδ. τῶν Πατ. περὶ τῆς Ἐνσαρκ. τοῦ Λόγου. Εὐστάθ. ὁ μον. ἐπιστ. πρὸς Τιμόθ. Σχολαστ.). γ′] Ὁ λόγος περὶ πίστεως, ἢ προσφωνητικ. πρὸς Ἀλεξανδρεῖς (Gennad. de Script. eccles. c. 57. Synod. Cassin advers. tragoed. Irinaei c. 217. Εὐφραίμ. Ἀντιοχ. παρὰ Φωτ. ἀνάγν. 229. σελ. 413, 429 καὶ 430. Λεόντ. ὁ Βυζ. κατὰ Νεστόρ. καὶ Εὐτύχ. βιβλ. Α′ καὶ βιβλ. κατὰ Μονοφ. Ἀναστάσ. ὁ Σιν. Ὁδηγ. κεφ. 10. Ἰωάν. ὁ Δαμασκ. Τόμ. ὡς ἐκ προσώπου Πέτρου τοῦ ἁγίου ἐπισκ. Δαμασκοῦ πρὸς τὸν ἐπίσκ. δῆθεν Τουδαραίας τὸν Ἰακωβίτην. Τ. Α′. σελ. 424 καὶ 425. Ἀναστ. ὁ πρεσβ. Διδ. τῶν Πατ. περὶ τῆς Ἐνσαρκώσεως τοῦ Λόγου, καὶ Εὐστάθ. ὁ μον. ἐπιστ. πρὸς Τιμόθ.). δ′] Ὁ λόγος κατὰ τῶν λεγόντων, ὅτι οὐ δεῖ ἐπιτελεῖν θυσίας ὑπὲρ τῶν ἐν πίστει κεκοιμημένων (Εὐστράτ. πρεσβ. τῆς Μεγ. Ἐκκλησ. παρὰ Φωτ. ἀνάγν. ροκ′ σελ. 198, 199. Leon Allat. *de utriusque Ecclesiae Occid. atque Orient. perpetua in dogmate de Purgatorio consensione*, Romæ 1655. p. 571-578). ε′] Ἡ ἐπιστ. πρὸς τοὺς ἐν Φουᾷ μοναχοὺς κατὰ τῶν Ὠριγένους πλανῶν, ὑπὲρ τῆς ἀναστάσεως τοῦ σώματος καὶ κατὰ τῆς προϋπάρξεως τῶν ψυχῶν. (Βλ. Ἰουστιν. βιβλ. κατὰ Ὠριγ. Mansi T. IX. col. 511-12. πρβλ. Tillemont I. e. Art. CLIV. p. 663-64). ς′] τὸ βιβλίον κατὰ Πελαγιανῶν πρὸς Θεοδόσιον τὸν βασιλέα (Βλ. Φωτ. Ἀναγν. νδ′ σελ. 20. ζ′] Ὁ κατὰ Ἀρείου λόγος, τὸ βιβλίον περὶ πτώσεως τῆς συναγωγῆς, ὁ περὶ ἀπαθείας

§. 216. Ὁμιλίαι. Ἐπιστολαὶ περὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας.

Ὁ πρεσβύτερος τῆς Μασσαλίας Γεννάδιος γράφει, ὅτι ὁ ἅγιος Κύριλλος συνέταξε πλείστας ὁμιλίας, ἃς οἱ ἕλληνες ἐπίσκοποι ἐξεμάνθανον, ὅπως ἐκφωνῶσιν αὐτὰς ἐν ταῖς εἰθισμέναις συναθροίσεσι τοῦ λαοῦ (1). Τοῦτο δὲ δηλοῖ τὴν μεγάλην αὐτῶν ἀξίαν.

Νῦν εἰσι γνωσταί: α′] 29 ὁμιλίαι ἑορταστικαί, ἢ ἑορταστικαὶ ἐπιστολαί, ὅμοιαι οὖσαι ταῖς ἐπιστολαῖς, ἃς διέπεμπε πρὸ τοῦ Πάσχα ὁ ἅγιος Ἀθανάσιος, ἀναγγέλλουσαι τὸν χρόνον τοῦ Πάσχα. Ὁ ἅγιος Κύριλλος ἐσπούδαζεν, ὡς δῆλον, ἐκπληροῦν μετ' ἀκριβείας τὴν διάταξιν τῆς ἐν Νικαίᾳ Οἰκουμ. Συνόδου, ἀναθείσης τῷ ἀρχιεπισκόπῳ τῆς Ἀλεξανδρείας, ἔνθα ἤνθουν αἱ μαθηματικαὶ ἐπιστῆμαι, ὁρίζειν δηλαδὴ καὶ ἅπασι γνωρίζειν τὸν χρόνον τῆς ἑορτῆς τοῦ Πάσχα (2). Ἐν ταῖς ἑορταστικαῖς ὁμιλίαις πραγματεύεται ὁ ἅγιος Κύριλλος περὶ τῆς ἀξίας τῆς ἑορτῆς τοῦ Πάσχα (3), περὶ τῆς σωματικῆς καὶ πνευματικῆς νηστείας (4), κατὰ τῆς ὑποκρίσεως καὶ περὶ τοῦ πορεύεσθαι σταθερῶς τὴν ὁδὸν τοῦ Χριστοῦ (5), περὶ τῆς ἐλεημοσύνης (6), κατὰ τῆς ἀργίας καὶ τῆς ἀπραγμοσύνης (7), κατὰ τῆς ἀκάρπου πίστεως (8), περὶ τῆς προσευχῆς (9),

---

λόγος καὶ ὁ περὶ πάθους (Φωτ. Ἀνάγν. σκθ′ σελ. 432 καὶ 420). Τῶν τελευταίων τριῶν συγγραμμάτων εἰσὶ γνωσταὶ μόνον αἱ ἐπιγραφαί. Σ. Μ.

(1) De Script. eccles. p. 57.

(2) Τ. 6. Μέρ. 3. σελ. 1-350. Ἀλέξανδρος ὁ Ἱεραπόλεως ποιεῖται λόγον ἐν τῇ πρὸς Ἀκάκιον τὸν Βεροίας ἐπιστολῇ αὐτοῦ (ap. Balusium in Collect. Concil. p. 762), περὶ τῶν ἑορταστικῶν ἐπιστολῶν τοῦ ἁγ. Κυρίλλου, διακρίνων αὐτὰς τῶν ἄλλων. Ὁ Βουχέριος ἐξέδωκεν λατινιστὶ (de doctrina temporum. Antverpiæ 1634. 480) τὸν πρόλογον τοῦ Κυρίλλου εἰς τὸν πασχάλ. κύκλον 99 ἐτῶν. Ὁ Σιγέβερτος (de Script. eccles. c. 24.) μνημονεύει αὐτοῦ τοῦ κύκλου. Fragm. ep. Cyrilli de modo computand. Pascha in ep. 121. c. S. Leonis M.

(3) Ὁμιλ. 1, 5, 16, 17, 20, 30.

(4) Ὁμιλ. 1, 6, 7, 11, 13, 14, 20, 21.

(5) Ὁμιλ. 7, 9, 10, 12, 14, 15, 18, 19, 29.

(6) Ὁμιλ. 11, 19, 27.

(7) Ὁμιλ. 2, 4, 8, 26.

(8) Ὁμιλ. 11, 24.

(9) Ὁμιλ. 18.

κατὰ τῶν κοσμικῶν ἡδονῶν (1), ἐλέγχει τοὺς Ἰουδαίους (2), τὴν τῶν ἐθνικῶν θρησκείαν (3), τὸν Νεστόριον (4), πραγματεύεται περὶ τοῦ ἀναγκαίου τῆς ἐλεύσεως τοῦ Ἰησοῦ Χριστοῦ καὶ καταδείκνυσι τοὺς καρποὺς αὐτῆς καὶ τὴν διὰ τοῦ μυστηρίου τῆς ἐνανθρωπήσεως προσενεχθεῖσαν ἡμῖν ὑπὸ τοῦ Θεοῦ μεγίστην εὐεργεσίαν (5), καὶ δείκνυσιν, ὅτι ἡ κλῆσις τῶν ἐθνῶν προετυπώθη ἐν τῇ Παλαιᾷ Διαθήκῃ (6).

ϐ'] Τῶν ἄλλων ὁμιλιῶν τοῦ ἁγίου Κυρίλλου αἱ πλείους μένουσιν ἀνέκδοτοι· τῶν δὲ ἐκδοθεισῶν 22 αἱ πλεῖσται ἀναφέρονται εἰς τὴν πρὸς τὸν Νεστόριον ἔριν (7). Ἀξιολογωτάτη δ' ἁπασῶν ἐστιν ἡ περὶ ἐξόδου ψυχῆς καὶ περὶ τῆς δευτέρας παρουσίας διά τε τὸ βάθος τῶν αἰσθημάτων τῆς συντετριμμένης καρδίας καὶ διὰ τὰς δοξασίας περὶ τῆς καταστάσεως τῶν ψυχῶν τῶν ἀποχωριζομένων τοῦ σώματος. Κατεχωρίσθη δὲ ἐν τῷ Σλαβικῷ Ψαλτηρίῳ καὶ ἐν τῷ ἑλληνικῷ Ὡρολογίῳ ὡς λίαν διδακτικὴ τῷ λαῷ. Ἐν μιᾷ δ' αὐτῶν ἤλεγξεν ὁ θεῖος Πατὴρ τοὺς ἀπορρίπτοντας τὰς ὑπὲρ τῶν ἐν πίστει κεκοιμημένων προσφοράς.

Ἐν ἐνίαις τῶν ἐπιστολῶν αὐτῶν ὁ ἅγιος Κύριλλος πραγματεύεται περὶ τῆς ἐκκλησιαστικῆς εὐταξίας. Μία αὐτῶν περὶ τοῦ τηρεῖν δικαιοσύνην, δικαζομένων τῶν ἐπισκόπων, καὶ μὴ ἀπαιτεῖσθαι λόγους τῆς οἰκονομίας τῶν παραπιπτόντων αὐτοῖς, ἐτάχθη ἐν τῷ συντάγματι τῶν κανόνων (8).

---

(1) Ὁμιλ. 25.

(2) Ὁμιλ. 1, 4, 6, 19, 29, 30.

(3) Ὁμιλ. 6, 9, 12.

(4) Ὁμιλ. 8, 17, 27.

(5) Ὁμιλ. 14, 16, 17, 18, 19, 20, 21, 24, 26.

(6) Ὁμιλ. 23.

(7) Ὁ Αουβέρτος ἐξέδωκε 14 ὁμιλίας Τ. ς' σελ. 350-416. Τεμάχια δύο ὁμιλιῶν ἐκφωνηθεισῶν κατὰ τὴν ἐν Ἐφέσῳ Σύν. ἐξεδόθ. ὑπὸ Βινίου Τ. Α' σελ. 381, 384. Τρεῖς βραχεῖαι ὁμιλίαι εἰς τοὺς ἁγ. μάρτυρας Κῦρον καὶ Ἰωάννην ἐξεδόθ. ὑπὸ τοῦ Μαΐου in T. IV. Spicil. Rom. p. 248-263. Ἡ ὁμιλία εἰς τὴν παραβολὴν τοῦ ἀμπελῶνος ἐξεδ. ὑπὸ τοῦ αὐτοῦ in Spicil. Rom. T. V. p. 119-122. Ἐν τῇ ἀραβ. μεταφράσει ὑπάρχουσι 44 ὁμιλίαι τοῦ ἁγίου Κυρίλλου in. Bodleiano cod 5809.

(8) Ἐπ. 59. Ἐν τῇ 48 πραγματεύεται ὁ Πατὴρ περὶ τοῦ δεῖν παρορᾶν τι τῆς ἀκριβείας μείζονος ἕνεκα κατορθώματος· ἐν τῇ 60ῃ ἐπιτάσσει ἐκλέγειν κληρικοὺς ἀξίους· ἐν τῇ 58ῃ ὁμιλεῖ περὶ ὑποταγῆς τῶν πρεσβυτέρων τοῖς ἐπισκόποις· ἐν τῇ 61ῃ ὁρίζει τὸν χρόνον τοῦ Πάσχα. Ἡ τελευταία κατεχωρίσθη ἐν τοῖς Πρακτικοῖς τῆς κατὰ Καρθαγένην Συνόδου. Mansi III. p. 835-838.

§. 217. Ἀκάκιος ὁ Μελιτηνῆς.

Ἀκάκιος, ἐπίσκοπος τῆς ἐν Ἀρμενίᾳ Μελιτηνῆς, υἱὸς εὐσεβῶν γονέων, παρεδόθη παῖς ὢν πρὸς ἐκπαίδευσιν τῷ Μελιτηνῆς ἐπισκόπῳ ἁγίῳ Ὀρτίῳ, ἑνὶ καὶ τούτῳ τῶν ἁγίων τῆς Β΄ Οἰκουμενικῆς Συνόδου Πατέρων. Ὑπὸ τὴν ἐπίβλεψιν τούτου τοῦ ἁγίου ποιμένος ἔτυχεν εὐσεβοῦς καὶ σοφῆς παιδεύσεως. Ὅτε ἀνεφάνη ἡ διδασκαλία τοῦ Νεστορίου, ὁ Ἀκάκιος ἐφάνη ἐν τοῖς πρώτοις ἐλεγκταῖς τοῦ αἱρετικοῦ τούτου· ἀλλ' ἐδείχθη τόγε νῦν εἶναι οὐ πάνυ περιεσκεμμένος, διότι, ὁμιλῶν περὶ τῆς ἑνώσεως τῆς θεότητος μετὰ τῆς ἀνθρωπότητος ἐν τῷ Ἰησοῦ Χριστῷ, ἀπεφαίνετο, ὅτι δῆθεν ἔπασχε καὶ ἡ Θεότης· ἐκ τούτου δὲ ἡ πρὸς τὸν Κύριλλον δυσμένεια τοῦ Θεοδοσίου ἐγένετο πολλῷ μείζων. Ἐν Ἐφέσῳ (τῷ 431) ἤρισε πρὸς τὸν Νεστόριον πρὸ τῆς ἐνάρξεως τῆς Συνόδου[α], καὶ ἔπειτα ἐξέθηκεν τῇ Συνόδῳ, ἃς ἤκουσεν αὐτοῦ λέγοντος, βλασφημίας[β]. Ἐπανελθὼν ἐξ Ἐφέσου οἴκαδε, παρέσχε τῇ Ἐκκλησίᾳ μεγάλην ὠφέλειαν, ἅτε δὴ συνεργήσας πάσῃ δυνάμει πρὸς ἀποκατάστασιν τῆς εἰρήνης μεταξὺ τῶν Σύρων ἐπισκόπων καὶ τοῦ θείου Κυρίλλου[γ]. Δοξασθεὶς θαύμασιν ἔτι κατὰ τὸν ἐπίγειον αὐτοῦ βίον, ἐτελεύτησε πιθανῶς τῷ 435 (¹).

[α] Ἀφικόμενος ὁ Ἀκάκιος εἰς Ἔφεσον ἐσπούδασε παντὶ σθένει πεῖσαι τὸν φίλον αὐτοῦ Νεστόριον καταλιπεῖν τὰς πλάνας αὐτοῦ. Ἀλλ' οὗτος τὸ μὲν πρῶτον ἐφάνη πρόθυμος ἐκπληρῶσαι τὰς συμβουλὰς ἐκείνου, ἔπειτα δὲ ἐνέμεινε τῇ ἀσεβείᾳ αὐτοῦ. Καὶ ὁ Ἀγκύρας Θεόδοτος, φίλος ὢν ἐπ' ἴσης τοῦ Νεστορίου, ἐσπούδασεν οὐχ ἧττον τοῦ Ἀκακίου καταδεῖξαι αὐτῷ τὴν ἀλήθειαν, ἀλλ' εἰς μάτην. Σ. Μ.

[β] Ὁ Νεστόριος ἔλεγε πρὸς τοῖς ἄλλοις τῷ Ἀκακίῳ καὶ τῷ Θεοδότῳ, ὅτι οὐκ ἠδύνατο προσκυνεῖν παιδίον τραφὲν γάλακτι καὶ διδόναι τὸ ὄνομα τοῦ Θεοῦ τῷ εἰς Αἴγυπτον φυγόντι. Σ. Μ.

[γ] Πρὸς τοῦτο συνήργησεν οὐχὶ ὁ Μελιτηνῆς Ἀκάκιος, ὃς οὐκ ἄνευ ἐκπλήξεως εἶδεν, ὅτι ὁ θεσπέσιος Κύριλλος ἀπεδέξατο τὴν ὁμολογίαν τῆς πίστεως τῶν Ἀνατολικῶν, καὶ ἐπὶ τούτῳ ἐμέμψατο αὐτῷ, ἀλλ' ὁ Ἀκάκιος «ὁ Βεροίας μὲν τῆς ἐν Συρίᾳ πόλεως ποιμένειν λαχών, πανταχοῦ δὲ γῆς καὶ θαλάσσης ᾀδόμενος» (Θεοδώρ. ἐκκλ. ἱστ. ε΄ 23.) Σ. Μ.

(¹) Πρακτ. τῆς ἐν Ἐφ. Συν. Πρ. Ά. Tillemont. mem. eccles. Vol. XIV. S. Cyrille, Art. II. Act. Sanctor. Mart. 3, 903. f.

Τὰ νῦν γνωστὰ συγγράμματα αὐτοῦ εἰσι:

α΄]. Ἡ ἐν Ἐφέσῳ λεχθεῖσα ὁμιλία, ἐν ᾗ πάνυ θερμῶς ὑπερασπίζει τὴν ὑπὸ τοῦ Νεστορίου ὑβρισθεῖσαν ὀρθοδοξίαν.

β΄]. Ἡ πρὸς Κύριλλον τὸν Ἀλεξανδρείας ἐπιστολή (¹).

γ΄]. Ἡ πρὸς τὸν Νεστόριον ἀντιλογία αὐτοῦ (²).

§. 218. Θεοδώρητος ὁ Κύρου ἐπίσκοπος· βίος αὐτοῦ.

Θεοδώρητος, ὁ Κύρου [α] ἐπίσκοπος, υἱὸς πλουσίων καὶ εὐγενῶν γονέων [β], ὠνομάσθη οὕτως ὡς θεόθεν δωρηθεὶς στείρᾳ μητρὶ τῇ προσευχῇ τοῦ δι' ἐτῶν ἑβδομήκοντα ἐπὶ τῆς ἀσκητικῆς παλαίστρας ἠγωνισμένου ἁγίου Μακεδονίου [γ]. Ὀκτὼ ἔτη γεγονότα

(¹) Ἡ μὲν ὁμιλία ἐξεδόθη inter oper. Consil. Ephes. T.III. p.983. ed. Binii. ἡ δ' ἐπιστολὴ inter epist. Ephes. a Lupo ed. n. 172.

(²) Ἡ ἀντιλογία ἐξεδόθ. in Act. Sanctor. Mart. 3, 903. in *Ruinarti* act. Martyr. p. 152.

[α] Ἡ Κύρος, πόλις ἐν τῇ Εὐφρατησίᾳ Συρίᾳ, ἡ καὶ Κυρεστῶν ἢ Κυρεστηνῶν λεγομένη πόλις, κατεστάθη ἐπισκοπὴ κατὰ τὸν δ΄ αἰῶνα, ὑπὸ τὴν μητρόπολιν τῆς Ἱεραπόλεως, καὶ ἀρχιεπισκοπὴ κατὰ τὸν ιβ΄. Κατά τινας, οἱ Ἰουδαῖοι ἐπανερχόμενοι ἐκ τῆς Βαβυλῶνος ἔκτισαν τὴν πόλιν ταύτην εἰς τιμὴν τοῦ τὴν ἐλευθερίαν ἀποδόντος αὐτοῖς Κύρου. Πατρὶς δὲ τῷ μακαρίῳ Θεοδωρήτῳ ἦν ἡ Ἀντιόχεια, «αἱ κατ' ἐκεῖνο τοῦ χρόνου, ὡς λέγει ὁ κλεινότατος Εὐγένιος ὁ Βούλγαρις, Συριάδες Ἀθῆναι· τὸ τῆς ἑῴας λήξεως περιφανὲς παιδευτήριον· ἡ πολλῶν ἀνδρῶν καὶ ἀξιαγάστων ἐπί τε σοφίᾳ, καὶ λόγοις, καὶ ἀρετῇ καὶ ὁσιότητι βίου ἀγαθὴ τιθήνη καὶ μήτηρ» (β΄ τοῦ μακ. Θεοδωρ. σελ. 5). Σ. Μ.

[β] «Οἱ δὲ τοκεῖς αὐτῷ, λέγει ὁ Εὐγένιος, οὐ τῶν ἐν Ἀντιοχεῦσι πολλῶν τινές, οὐδὲ τῶν κομιδῇ ἀδόξων, ἀλλὰ καὶ γένους ἔχοντες οὐκ ἀσήμως, καὶ πλούτου εὐθυνούμενοι περιουσίᾳ, καὶ τὸ δὴ μέγιστον καὶ τοῦ παντὸς ἄξιον, τὴν κατὰ Χριστὸν ὀρθήν τε καὶ ἀμώμητον θρησκεύοντες δόξαν, καὶ τῇ κατ' αὐτὴν τοσοῦτον διαφέροντες εὐσεβείᾳ, ὡς καὶ ἐπακούοντος ἑτοίμως πειρᾶσθαι Θεοῦ, καὶ τῆς ἄνωθεν ἀπολαύειν ῥοπῆς καὶ ἐπικουρίας, ἐφ' οἷς τὰ μὲν καθ' ἑαυτοὺς δεόμενοι, τὰ δὲ καὶ διὰ τῶν ἐκείνου θεραπόντων ἱκέται καθίσταντο» (β. τοῦ μακαρ. Θεοδωρ. σελ. 5). Σ. Μ.

[γ] Ἡ μὲν μήτηρ τοῦ μακ. Θεοδωρήτου, καίπερ τρία ἐπὶ δέκα ἔτεσιν ἄγονος τῷ ἀνδρὶ συνοικοῦσα, οὐ πάνυ ἐλυπεῖτο ἐπὶ τούτῳ· ὁ δὲ πατὴρ αὐτοῦ, ἐπὶ τῇ συμφορᾷ τῆς ἀπαι-

εἰς τὴν τοῦ Εὐπρεπίου μονὴν φέροντες εἰσήνεγκαν οἱ γεννήσαντες τὴν εὐχὴν ἐξοσιούμενοι τὴν ἑαυτῶν (¹). Ἐνταῦθα ἐγένοντο αὐτῷ συσπουδασταί, καὶ συνομιληταὶ καὶ γνώριμοι Ἰωάννης, ὃς ὕστερον ἔλαχεν ἰθύνειν τὸ σκάφος τῆς Ἀντιοχέων Ἐκκλησίας καὶ ὁ γνωστὸς Νεστόριος. Οἱ δὲ τῶν κατὰ θεωρίαν αὐτῷ καθηγησάμενοι παιδευμάτων δύο φέρονται γεγονέναι, ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος καὶ Θεόδωρος ὁ Μοψουεστίας [δ]. Ἐν τῇ μονῇ ταύτῃ εἰς Ἀναγνώστου

δίας πληττόμενος, πάντοσε περιενόστει, καὶ ἱκέτευε τοὺς θείους θεράποντας ἱκετεῦσαι τὸν Κύριον, ἵνα δωρήσηται αὐτῷ παῖδας. Ὁ ἅγιος Μακεδόνιος εἶπεν αὐτῷ, ὅτι λήψεται παρὰ τοῦ τῶν ὅλων Θεοῦ υἱὸν ἕνα. Ἀλλὰ παρῆλθον τρία ἔτη, καὶ οὔπω ἦν αὐτῷ υἱός. Ἡ εὐσεβὴς σύζυγος, ἀποβαλοῦσα ἤδη πᾶσαν ἐλπίδα γενέσθαι μήτηρ, διενοεῖτο μόνον περὶ τῆς ψυχικῆς αὐτῆς σωτηρίας. Τότε ὁ Μακεδόνιος, μεταπεμψάμενος αὐτήν, ἐπανέλαβεν αὐτῇ ἅπαξ ἔτι τὴν ἐπαγγελίαν, καὶ ᾔτει μόνον, ἵνα τὸ τεχθησόμενον παιδίον ἀντιδοθῇ τῷ δώσοντι αὐτὸ Κυρίῳ. Ἡ στεῖρα ἐκύησεν· ἀλλὰ κατὰ τὸν πέμπτον μῆνα τῆς κυοφορίας ἐξαμβλῶσαι τὸ κύημα κινδυνεύουσα, μετεπέμψατο τὸν Μακεδόνιον, ὃς ἀφικόμενος πρὸς αὐτήν, εἶπεν αὐτῇ θαρρεῖν, διότι οὐκ ἀφαιρήσηται τὸ δῶρον ὁ δεδωκώς, εἰμὴ δ' αὐτὴ παραβαίη τὰς γεγενημένας συνθήκας, αἷς ἀντιδώσειν ὑπέσχετο τὸ δοθησόμενον, καὶ εἰς τὴν θείαν αὐτὸ θεραπείαν καθοσιώσειν. « Οὕτως, ἔφη ἡ πάσχουσα, καὶ ἐγὼ τεκεῖν βούλομαί τε καὶ εὔχομαι· τῆς γὰρ ἀλλοίας τοῦ παιδὸς τροφῆς αἱρετώτερον ἡγοῦμαι τὸν ἀτέλεστον τόκον». Τότε ὁ Μακεδόνιος εἶπεν αὐτῇ: « Πίε τοίνυν τόδε τὸ ὕδωρ, καὶ τῆς θείας ἐπικουρίας αἰσθήσῃ». Πιούσης δ' αὐτῆς ὃ προσήνεγκεν αὐτῇ ὁ θεῖος ἀνὴρ ὕδωρ, παρῆλθεν ὁ τῆς ἀμβλώσεως κίνδυνος. Εἰς μνημόσυνον δὲ τούτων οἱ εὐσεβεῖς γονεῖς ὠνόμασαν τὸν νεογενῆ υἱὸν Θεοδώρητον (Φιλόθ. ἱστορ. κεφ. 13). Σ. Μ.

(¹) Τῆς μονῆς ταύτης μνημονεύει ὁ Θεοδώρητος ἐν τῇ ριθ΄ ἐπιστ. αὐτοῦ καὶ Synodic. Cassin. c. 66.

[δ] « Θεόδωρος μὲν ὁ Μοψουεστίας, λέγει ὁ σοφώτατος Εὐγένιος, ἐκεῖνος, ὃν καὶ μυρίων οὐκ ἐλάσσονας βίβλους λόγος ἔχει συγγεγραφέναι, τῆς ἐν ἱεραῖς Γραφαῖς αὐτὸν θεοσοφίας τὰ βάθη, ἐδίδασκεν ἐπιστημόνως ἀναδιφᾶν. Ἰωάννης δὲ ὁ μέγας, ὁ τὴν γλῶτταν χρυσοῦς, τὰς τῆς εὐγλωττίας αὐτῷ ἀνεστόμου πηγάς, ἐξ ὧν μετ' οὐ πολὺ τοῖς τῷ δίψει τοῦ λόγου συνεχομένοις, ῥέειν ἔμελλεν ἀφθόνως τὰ τῆς διδασκαλίας σωτήρια νάματα. Ὁ δὲ ἐντεῦθεν, καὶ εἴποθεν αὐτῷ καὶ ἄλλοθεν ἐνῆν, τοῦ τῆς σοφίας

τάξιν εἰσάγεται ὑπὸ Πορφυρίου τοῦ μετὰ Φλαβιανὸν ἐπισκοπεύσαντος Ἀντιοχέων, ὑπὸ δὲ τοῦ διαδόχου αὐτοῦ Ἀλεξάνδρου ἐκληρώθη καὶ τὸν βαθμὸν τοῦ διακόνου ([1]).

Τελευτήσαντος τῷ 422 τοῦ ἐπισκόπου Κύρου [ε], προὐχειρίσθη ὁ Θεοδώρητος προστάτης τῆς χηρευούσης ποίμνης παρὰ τὴν θέλησιν αὐτοῦ ([2]). Ἐξ ἕτου δὴ πρὸς μείζονα σαφήνειαν ἐξεταστέον οἷος ἐγένετο ὡς πρὸς τὴν μερικὴν Ἐκκλησίαν τῆς Κύρου, καὶ οἷος ὡς πρὸς τὴν οἰκουμενικὴν Ἐκκλησίαν.

Ὡς πρὸς τὴν Ἐκκλησίαν, ἧς τὸ σκάφος ἔλαχεν ἰθύνειν, ἐμφανίζεται ὡς πρότυπον ποιμένος ἐνεργοῦ καὶ ἁγίου. Ἡ ὑπὸ τοῦ Κυρίου ἀφορισθεῖσα αὐτῷ παροικία πρὸς τῇ πενίᾳ καὶ τῇ ἀγροικίᾳ τῶν κατοί-

---

κρατῆρος ἐς κόρον σπάσας, εὐκληρίας τε φύσεως τυχών, καὶ τάχει δὲ νοῦ καὶ ὀξύτητι διαφέρων, μελέτῃ δὲ συντόνῳ, καὶ φερεπονίᾳ ἀτρύτῳ χρησάμενος, ἐν νεαζούσῃ ἔτι ἡλικίᾳ ἐπὶ τὸν κολοφῶνα τῆς κατὰ ψυχὴν ἀνέτρεχε τελειότητος, καὶ τοσούτῳ προῆγε ταῖς ἐπιδόσεσιν, ὥστε πάντας τοὺς ἐν τῇ Εὐπρεπίου τότε καθ' ἑτέραν τὴν ἰδέαν τῆς ἀρετῆς παιδοτριβομένους, πολλῷ τῷ μέσῳ κατόπιν ἀπολιπεῖν» (αὐτόθ. σελ. 10-11). Τίνες ἐγένοντο οἱ τοῦ Θεοδωρήτου διδάσκαλοι ἄγνωστον. Ἐν τῇ ἀρχῇ τοῦ ε' αἰῶνος τὸ τῆς Ἀντιοχείας διδασκαλεῖον οὐκ εἶχε τοιούτους περικλεεῖς καθηγητάς, οἷος ἦν ὁ τοῦ Χρυσορρήμονος Ἰωάννου διδάσκαλος Διόδωρος ὁ Ταρσοῦ. Ὁ μαθητὴς τοῦ Διοδώρου Θεόδωρος, ὁ τῆς Ἀντιοχείας πρεσβύτερος, ἀνέβη τῷ 397 ἐπὶ τοῦ θρόνου τῆς Ἐκκλησίας τῆς Μοψουεστίας (Assem. B. Or. p. 400. n. 3). Ἐκ τῆς ὁμοιότητος τοῦ Θεοδωρήτου ἐν τῇ ἑρμηνείᾳ τῶν Γραφῶν πρὸς τὸν θεῖον Χρυσόστομον δύναταί τις συμπεράναι, ὅτι οὐ μόνον τὰ συγγράμματα τοῦ οἰκουμενικοῦ τούτου διδασκάλου, ἀλλὰ καὶ τὰ διδάγματα τῶν μαθητῶν αὐτοῦ ἐχρησίμευσαν ὡς χειραγωγία τῷ Θεοδωρήτῳ ἐν τῇ κατανοήσει τῆς ἁγ. Γραφῆς. Σ. Μ.

([1]) Φιλόθ. ἱστορ. κεφ. ιβ'.

[ε] Ὁ ἐπίσκοπος οὗτος ἐκαλεῖτο Ἰσίδωρος Σ. Μ.

([2]) Ἐν τῇ ἐπιστ. πα' τῷ ὑπάτῳ Νόμῳ γράφει, ὅτι διετέλεσεν ἐπίσκοπος πέντε καὶ εἴκοσιν ἔτη· ὁ δὲ Νόμος ἦν ὕπατος τῷ 445. Πρῶτον τοίνυν ἔτος τῆς ἐπισκοπῆς αὐτοῦ ἦν τὸ 420. Ἀλλ' ὀρθοτέρα ἔσται ἡ ἀρίθμησις τῶν ἐτῶν τοῦ Θεοδωρήτου, ὡς βάσεως τεθείσης τῆς ριγ' ἐπ. αὐτοῦ Λέοντι ἐπισκ. Ῥώμης, ἔνθα, ἐπιμεμφόμενος τῇ λῃστρικῇ Συνόδῳ τῆς Ἐφ. (τῷ 449), λέγει, ὅτι ἴθυνε τὴν παρὰ τοῦ Θεοῦ τῶν ὅλων ἐγχειρισθεῖσαν αὐτῷ Ἐκκλησίαν ἓξ καὶ εἴκοσιν ἔτη.

κων, οὐδὲν μείους ὀκτακοσίων παροικιῶν περιέχουσα, ἣν καταπεπυκνωμένη πλήθει διαφόρων αἱρετικῶν καὶ ἐν μέρει ἐθνικῶν. Ὁ Θεοδώρητος κατώρθωσε κατὰ τὸ διάστημα τῆς κυβερνήσεως αὐτοῦ παραστῆσαι αὐτὴν τῷ Κυρίῳ ἄμωμον καὶ ἄσπιλον νύμφην [ζ]. Ἰδοὺ τί ἔγραφεν 25 ἔτη μετὰ τὴν διοίκησιν τῆς Ἐκκλησίας τῆς Κύρου πρὸς ἀπολογίαν αὐτοῦ κατὰ τῶν κατηγόρων: « . . . κώμας ὀκτὼ τῆς Μαρκίωνος, καὶ τὰς πέριξ κειμένας, ἀσμένας πρὸς τὴν ἀλήθειαν ἐποδήγησα. Ἄλλην κώμην Εὐνομιανῶν πεπληρωμένην, καὶ ἄλλην Ἀ-

---

[ζ] « Ταύτης δὲ (τῆς Ἐκκλησίας τῆς Κύρου), λέγει ὁ Εὐγένιος, ἤδη τὴν προστασίαν ἄκων τε καὶ μόλις ὁ Θεοδώρητος ἀναδεδεγμένος, ἐκεῖνο πρῶτον ἑαυτοῦ παρεῖχεν ἰδεῖν ἀξιάγαστον, τὸ μηδὲ βραχύ τι ὅσον ἀνασχέσθαι ὑφεῖναι, μηδ᾽ ἐπὶ τοῦ θρόνου ἀρθείς, τῆς συνήθους τοῦ βίου λιτότητος, ἀλλὰ καὶ τὴν πολιτείαν (ὃ διέξεισιν αὐτὸς περὶ Ἀβραάμου τοῦ Κάρου) βιασθεὶς ἐναλλάξαι, τὸν βίον οὐκ ἤμειψε· μετέβη δὲ μετὰ τῆς ἀσκητικῆς κακοπαθείας, μοναχικοῖς τε πόνοις, καὶ ἀρχιερατικοῖς φροντίσι κατ᾽ αὐτὸ περιστοιχιζόμενος». Μένων γὰρ ἀκλινὴς εἰς τέλος ἐπὶ τῆς τάξεως, τὸν μὲν τῆς ἀκτησίας θησαυρόν, ὃν τῇ πρὸς τοὺς δεομένους τοῦ πατρῴου κλήρου διανομῇ φθάσας συναγηόχει, ἄσυλον ἑαυτῷ ἐσπούδαζε διατηρεῖν. Περιβολὴν δὲ ἠσπάζετο τὴν εὐτελῆ τε καὶ πενιχρὰν καὶ ἀπέριττον. Νηστείᾳ δὲ διηνεκῶς ἐφιλονείκει τὸ σαρκίον ἐκτήκειν . . . . . Προσευχῇ δέ, καὶ τῇ τῶν θείων μελέτῃ καὶ θεωρίᾳ ἐπιμόνως ἔχαιρεν ἐγκαρτερεῖν. Καὶ τῇ ἄλλῃ, συνελόντι, διῆγε χρώμενος διαίτῃ, ἣν ἐξ ἀρχῆς ἑαυτῷ προεστήσατο . . . μίαν ταύτην ἐποιεῖτο σπουδήν, ὅπως τὴν ἀφορισθεῖσαν οἱ θεόθεν Ἐκκλησίαν, ὡς οἷόν τε ἐπιμελέστατα καλλιεργήσας, καὶ παντοίας ἀποσμήξας λύμης τε καὶ ρυπαρίας, ἄμωμον οὕτω καὶ ἄσπιλον τῷ νυμφίῳ παραστήσειε τὴν νύμφην . . . Εἰς τοῦτο δὲ οὐ σμικρᾶς τῆς ἄνωθεν ᾔδει ροπῆς καὶ ἐπικουρίας δεόμενος, πυκνῆς τινος τῆς σκοτομένης κατὰ παντὸς διακεχυμένης αὐτῷ τοῦ ποιμνίου. . . Ἔνθεν τοι καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν, Θεὸν οὐ διέλιπε βοηθὸν οἱ τῆς ἐργασίας παρεῖναι, αὐτός τε ἐπικαλούμενος, καὶ πολλοὺς δὲ καὶ ἐκ τῶν ἁγίων προβαλλόμενος πρέσβεις, ἐφ᾽ ᾧ τῆς ἐκείνου τυχεῖν ἀρωγῆς, καὶ εἰς τέλος ἐλθεῖν τοῦ σπουδάσματος. Καὶ μὲν δὴ καὶ τὸ παρ᾽ ἑαυτοῦ συνεισφέρων, καὶ σὺν Ἀθηνᾷ, τὸ τοῦ λόγου, καὶ τὴν χεῖρα κινῶν, μυρίους μὲν κατέβαλε πόνους, μυρίους δ᾽ ὑπῆλθε κινδύνους, ὁρατοῖς τε ἅμα καὶ ἀοράτοις ἐχθροῖς συμπλεκόμενος» (β. τοῦ μακαρ. Θεοδωρ. σελ. 13-14.) Σ. Μ.

ρειανῶν, τῷ φωτὶ τῆς θεογνωσίας προσήγαγον. Καὶ διὰ τὴν θείαν χάριν οὐδὲ ἓν παρ' ἡμῖν αἱρετικῶν ὑπελείφθη ζιζάνιον. Καὶ ταῦτα οὐκ ἀκινδύνως πεποίηκα, ἀλλὰ τὸ αἷμά μου πολλάκις ἐκχύσας, πολλάκις καταλευσθεὶς ὑπ' αὐτῶν, καὶ εἰς αὐτὰς φθάσας τοῦ ᾄδου τὰς πύλας» (1). Ἐπαναλαμβάνων τὸ αὐτὸ καὶ διὰ τὴν αὐτὴν περίστασιν ἐν τῇ πρὸς τὸν Πάπαν Λέοντα ἐπιστολῇ αὐτοῦ, προστίθησιν: «Οἶδεν ὁ πάντα ἐφορῶν πόσους ἐδεξάμην λίθους ὑπὸ τῶν δυσωνύμων κατ' ἐμοῦ πεμφθέντας αἱρετικῶν, πόσους ἐν ταῖς πλείοσι τῆς Ἀνατολῆς πόλεσιν ἔσχον ἀγῶνας πρὸς Ἕλληνας, πρὸς Ἰουδαίους, πρὸς πᾶσαν πλάνην αἱρετικήν». Ὅσον μὲν ὀλιγώρως καὶ ἀμελῶς εἶχεν ἑαυτοῦ, ὅσον δ' ἐκήδετο τῶν ἄλλων καὶ ἦν πρὸς αὐτοὺς ἐλευθέριος, δεικνῦσιν ἃ λέγει ἐν τῇ αὐτῇ ἐπιστολῇ: «Ὅτι δὲ τοσοῦτον χρόνον ἐπισκοπεύσας, οὐκ οἰκίαν ἐκτησάμην, οὐκ ἀγρόν, οὐκ ὀβολόν, οὐ τάφον, ἀλλὰ τὴν αὐθαίρετον ἠσπασάμην πενίαν, καὶ τὰ παρὰ τῶν πατέρων εἰς ἡμᾶς ἐλθόντα μετὰ τὴν ἐκείνων τελευτὴν εὐθὺς διανείμας, ἴσασιν ἅπαντες οἱ τὴν Ἑῴαν οἰκοῦντες» (2). Ἐκ τῶν ἐκκλησιαστικῶν προσόδων ἀνέστησε δημοσίας στοάς, ᾠκοδόμησε δύο μεγίστας γεφύρας, ἐπεμελήθη κοινῶν λουτρῶν, καὶ τὴν πόλιν μὴ ὑδρευομένην εὑρὼν ἐκ τοῦ παραρρέοντος ποταμοῦ, τὸν ἀγωγὸν κατεσκεύασε, καὶ τὴν ἄνυδρον πόλιν ὑδάτων ἐπλήρωσεν (3). Ὁτὲ μὲν προὔτρεπε τοὺς τῆς ἰατρικῆς ἐπιστήμονας οἰκῆσαι τὰς πόλεις τοῦ ποιμνίου αὐτοῦ (4), ὁτὲ δὲ ἱκέτευε τοὺς ἄρχοντας ἀφελεῖν τοῦ δασμοῦ τοὺς ὑπὸ τῶν ἀναγκῶν κακουμένους (5). Μεριμνῶν δὲ μετ' ἐνθέου ζήλου περὶ τῆς εὐαγγελικῆς παιδεύσεως τοῦ ποιμνίου αὐτοῦ, ἔγραφε πρὸ τοῦ 433 τὸ μὲν κατὰ τῶν Ἀρειανῶν καὶ Εὐνομιανῶν, τὸ δὲ κατὰ τῶν Ἐθνικῶν (6) καὶ

---

(1) Ἐπ. πα'. Νόμῳ Ὑπάτῳ. Ἐν τῇ ρμε' ἐπ. τοῖς ἐν Κωνσταντινουπόλει μονάζουσι λέγει, ὅτι πλείους ἢ μυρίους Μαρκιωνίτας διὰ τῆς θείας χάριτος προσήγαγε τῷ ἁγίῳ βαπτίσματι.

(2) Ἐπ. ριγ'. Λέοντι ἐπ. Ρώμης.

(3) Ἐπ. πα'. Νόμῳ Ὑπάτῳ.

(4) Ἐπ. ριε' Ἀπελλῇ.

(5) Ἐπ. μϐ' Κωνσταντίῳ Ἐπάρχῳ, μγ' Πουλχερίᾳ Αὐγούστῃ.

(6) Ἐν τῇ ριγ' ἐπ. Λέοντι ἐπισκ. Ρώμης, γραφείσῃ τῷ 449, λέγει: «Ἔστι γάρ μοι τὰ πρὸ εἴκοσι ἐτῶν συγγεγραμμένα, τὰ δὲ πρὸ ὀκτωκαίδεκα, τὰ δὲ καὶ πρὸ πεντεκαίδεκα, τὰ δὲ πρὸ δυοκαίδεκα, τὰ μὲν πρὸς Ἀρειανοὺς καὶ Εὐνομιανούς, τὰ δὲ

περὶ Π ρ ο ν ο ί α ς[1]. Οὐκ ἐπαύετο δὲ γράφων καὶ ἑ ρ μ η ν ε ί α ς εἰς τὴν ἁγίαν Γραφὴν[2].

πρὸς Ἰουδαίους καὶ Ἕλληνας, τὰ δὲ πρὸς τοὺς ἐν Περσίδι μάγους, ἄλλα περὶ τῆς καθόλου Προνοίας, ἕτερα δὲ περὶ Θεολογίας, καὶ τῆς ἐν σαρκὶ τοῦ Λόγου οἰκονομίας. Ἡρμήνευταί μοι διὰ τὴν θείαν χάριν καὶ τὰ ἀποστολικὰ συγγράμματα, καὶ τὰ προφητικὰ θεσπίσματα». Πρβλ. ἐπ. πβ΄ Εὐσεβίῳ ἐπισκ. Ἀγκύρας. Αἱρ. κακομυθ. ε΄ 2, 3, σελ. 254, 260. Κατὰ τῶν ἐθνικῶν ἔγραψεν ἕνεκα τοῦ διατάγματος τοῦ Θεοδοσίου (ἐκκλησ. ἱστορ. ε΄ 36. ἑλλην. θεραπ. παθημ. λόγ. ιβ΄) περὶ καταστροφῆς τῶν ἐθνικῶν ναῶν, ἐκδοθέντος τῷ 426.

(1) Πρὸ τῆς ε ἰ ς τ ο ὺ ς ψ α λ μ ο ὺ ς ἑρμηνείας (βλ. ἑρμ. τοῦ ξζ΄ ψαλμ.), καὶ ἐντεῦθεν πρὸ τοῦ 433.

(2) Ἐν τῇ ἐρωτήσ. α΄ τῶν εἰς τὸ Λευϊτικὸν ποιεῖται λόγον περὶ τοῦ συγγράμματος π ρ ὸ ς Ἕ λ λ η ν α ς καὶ π ρ ὸ ς τ ὰ ς α ἱ ρ έ σ ε ι ς, περὶ τῶν ἑρμηνειῶν ε ἰ ς τ ο ὺ ς Π ρ ο φ ή τ α ς καὶ τ ὰ ς ἀ π ο σ τ ο λ ι κ ὰ ς ἐ π ι σ τ ο λ ά ς. Ἐ ν τ ῇ Π ρ ο θ ε ω ρ ί ᾳ ε ἰ ς τ ο ὺ ς ψ α λ μ ο ὺ ς γράφει: «Ἀλλὰ ταύτην ἡμῶν πέρας λαβεῖν τὴν προθυμίαν οὐκ εἴασαν οἱ τῶν ἄλλων θείων Γραφῶν παρ' ἡμῶν τὰς ἑρμηνείας αἰτήσαντες. Οἱ μὲν γὰρ τοῦ Ἄ σ μ α τ ο ς τ ῶ ν ᾀ σ μ ά τ ω ν ἐπήγγειλαν τὴν σαφήνειαν, οἱ δὲ τοῦ ἀνδρὸς τῶν ἐπιθυμιῶν ἐπεθύμησαν διαγνῶναι τὴν προφητείαν· ἄλλοι δὲ τοῦ θεσπεσίου Ἰεζεκιήλ, καὶ ἕτεροι τῶν δώδεκα προφητῶν τὰς τῇ ἀσαφείᾳ κεκρυμμένας προρρήσεις σαφεῖς αὐτοῖς γενέσθαι καὶ δήλας ἐζήτησαν». Κατὰ τοὺς λόγους αὐτοῦ, τῇ ε ἰ ς τ ὸ ν Ἰ ε ζ ε κ ι ὴ λ καὶ ε ἰ ς τ ο ὺ ς δ ώ δ ε κ α Π ρ ο φ ή τ α ς ἑρμηνείᾳ ἠκολούθησε τὸ μὲν πρῶτον ἡ ε ἰ ς τ ὸ ν Ἠ σ α ΐ α ν (εἰς τὸν Ἱερεμ. ἑρμην. ιβ΄), ἔπειτα δὲ ἡ ε ἰ ς τ ὸ ν Ἰ ε ρ ε μ ί α ν (ἐρώτ. λα΄.) Τὴν ε ἰ ς τ ο ὺ ς θ ρ ό ν ο υ ς λέγει, ὅτι προστέθεικε ταῖς ἄλλαις προφητικαῖς βίβλοις (περὶ τὸ τέλος τῆς ε ἰ ς τ ο ὺ ς θ ρ ό ν ο υ ς ἑ ρ μ η ν.)· ὁ δὲ Δ α ν ι ὴ λ ἡρμηνεύθη πρὸ πάντων τῶν ἄλλων προφητῶν (προθεωρ. εἰς τὴν ἑρμην. τοῦ Δανιήλ.) Ἐν τῇ πβ΄ ἐπ. Εὐσεβίῳ Ἀγκύρας, τῷ 445 γραφείσῃ, λέγει: «Διὰ γὰρ τὴν τοῦ Θεοῦ χάριν καὶ τοὺς προφήτας ἅπαντας ἡρμηνεύσαμεν, καὶ τὸ ψαλτήριον, καὶ τὸν Ἀπόστολον». Αἱ ἑρμηνεῖαι τοίνυν αὐτοῦ ἠκολούθησαν τῇδε τῇ τάξει: πρῶτον ἡ ἑρμηνεία ε ἰ ς τ ὸ Ἆ σ μ α τ ῶ ν ᾀ σ μ ά τ ω ν, ἔπειτα αἱ ε ἰ ς τ ὸ ν Δ α ν ι ή λ, ε ἰ ς τ ὸ ν Ἰ ε ζ ε κ ι ή λ, ε ἰ ς τ ο ὺ ς δ ώ δ ε κ α π ρ ο φ ή τ α ς, ε ἰ ς τ ὸ ν Ἠ σ α ΐ α ν, ε ἰ ς τ ὸ ν Ἰ ε ρ ε μ ί α ν, ε ἰ ς τ ο ὺ ς ψ α λ μ ο ύ ς, ε ἰ ς τ ὰ ς ἐ π ι σ τ ο λ ὰ ς τ ο ῦ Ἀ π ο σ τ ό λ ο υ. Ἐκ δὲ τῶν ἐπ. πρὸς τὸν Εὐσέβιον (πα΄) καὶ πρὸς

Αἱ δὲ πρὸς τὴν οἰκουμενικὴν Ἐκκλησίαν πράξεις τοῦ Θεοδωρήτου ἄρχονται, ἀφ' οὗ χρόνου (τῷ 430) ἐκηρύχθη αἱρετικὸς ὁ Νεστόριος ἐν τῇ συνόδῳ τῆς Ἀλεξανδρείας. Τὸ μὲν ἡ πάλαι πρὸς τὸν Νεστόριον φιλία τε καὶ συνήθεια, ὃς διὰ τὸ αὐστηρὸν τοῦ βίου ἐφαίνετο ἅπασι σεβασμοῦ ἄξιος, τὸ δὲ ἡ ὑπόνοια κατὰ τῶν Ἀναθεματισμῶν τοῦ Κυρίλλου θεωρηθεισῶν ὡς ἀπολογίας οὐχὶ ὑπὲρ τῆς ὀρθοδοξίας, ἀλλ' ὑπὲρ τῆς τοῦ Ἀπολιναρίου διδασκαλίας, παρώρμησαν τὸν Θεοδώρητον γράψαι σφοδρότερον τοῦ δέοντος κατὰ τῶν ἐκδοθέντων τῷ Κυρίλλῳ Ἀναθεματισμῶν (¹) [η]. Σύναμα δ' αὐτός τε καὶ Ἰωάννης ὁ Ἀντιοχείας παρῄνουν τὸν Νεστόριον, περὶ φωνὰς ἐάσαντα ἀκαίρως ζυγομαχεῖν, τὴν Παναγίαν Παρθένον Θεοτόκον ὀνομάζειν μὴ παραιτεῖσθαι, καὶ σπουδάσαι καταπαῦσαι τὸν ὑπ' αὐτοῦ ἐν τῇ Ἐκκλησίᾳ

τὸν Π. Λέοντα (ριγ') γίγνεται δῆλον, ὅτι ἅπασαι αὗται αἱ ἑρμηνεῖαι ἦσαν ἤδη γεγραμμέναι τῷ 433.

(¹) Ὅτι τὰ Ἀντιρρητικὰ τοῦ Θεοδωρήτου τοῖς Ἀναθεματισμοῖς τοῦ Κυρίλλου ἐγράφησαν πρὸ τῆς ἐν Ἐφέσῳ Συνόδου, λέγει αὐτὸς ὁ Θεοδώρητος ἐν τῷ προλόγῳ εἰς τὸ Πενταλόγιον, ὡς γράφει Μάριος ὁ Μερκάτωρ (Ορ. Ρ. Π. βιβλ. 3). Θεόδωρος ὁ Ἀναγν. (ἐκκλ. ἱστορ. β' σελ. 565) ἀπατᾶται λέγων τὸ ἐναντίον περὶ τοῦ χρόνου αὐτῶν. Μέχρι τίνος βαθμοῦ εἶχε δίκαιον ὁ Θεοδώρητος ἐν τοῖς Ἀντιρρητικοῖς αὐτοῦ ἀπέδειξεν Εὐγένιος ὁ Βούλγαρις. (Βλ. β. τοῦ μακ. Θεοδωρ. ἐν τῇ ἐκδ. τῶν συγγραμμάτων αὐτοῦ.) Τὰ Ἀντιρρητικὰ ἐστάλησαν μετ' ἐπιστολῆς Ἰωάννῃ τῷ Ἀντιοχείας.

[η] « . . . Ἐφ' οἷς καὶ θαυμάσειεν ἄν τις εἰκότως, λέγει ὁ ἀείμνηστος Εὐγένιος, τὸν τοσοῦτόν τε καὶ τηλικοῦτον, τὸν οὕτω μὲν γεννηθέντα, οὕτω δὲ ἀνατραφέντα καὶ ἀχθέντα, οὕτω δὲ πολιτευσάμενον, τοσαῦτα δὲ καὶ ὑπὲρ τῆς τοῦ Χριστοῦ ποίμνης ἀνατλάντα καὶ διαθλήσαντα, ἐπὶ ποσὸν ὅμως ἰδὼν ὕστερον τοῦτον, συμπεριενεχθέντα μὲν τῇ πλάνῃ ὡς ἀληθείᾳ, ἀντιπεριενεχθέντα δὲ ὡς ἄντικρυς ψευδοδοξίᾳ τῷ ἀληθινῷ καὶ γνησίῳ δόγματι. . . . Ἧπου γὰρ δὴ καὶ τοῦτον ὁ Σατανᾶς ἐξῃτήσατο τοῦ σινιάσαι κατὰ τὸν Σίμωνα· καὶ συνεχωρήθη πρὸς βραχὺ τοῖς ζιζανίοις συναναχρωσθῆναι, εἰς ὃ θειοτέρας τινὸς αὔρας τέως ἐπιπνευσάσης, καὶ πᾶν ὅσον γεηρὸν αὐτῷ προσῆν, καὶ τοῦ εἰλικρινοῦς σίτου ἀλλότριον ἐξ αὐτοῦ ἀπορριπισάσης, ἄρτος καθαρὸς ἀναδειχθείη, εἰς βρῶσιν Χριστοῦ ἐπιτήδειος . . . » (β. τοῦ μακ. Θεοδωρ. σελ. 21.) Σ. Μ.

κινηθέντα σάλον (1). Ὅτε δὲ ἡ μετά τινος σπουδῆς ὑπὸ τοῦ Κυρίλλου ἐξενεχθεῖσα ἐν τῇ Συνόδῳ κατὰ τοῦ Νεστορίου καταδικαστικὴ ψῆφος ἔδωκε τοῖς Ἀνατολικοῖς ἀφορμὴν τοῦ κηρύξαι ἀκύρους τὰς πράξεις τῆς Συνόδου, ὁ Θεοδώρητος ἔγραψε (τῷ 432) νέον κατὰ Κυρίλλου σύγγραμμα (2). Ἀλλὰ κατόπιν, ὅτε ἐξητάσθησαν ἠρέμῳ πνεύματι ἐγγύτερον αἱ ἀποφάσεις τῆς ἐν Ἐφέσῳ Συνόδου, ὅ τε Θεοδώρητος καὶ οἱ περὶ τὸν Ἰωάννην διηλλάγησαν πρὸς τὸν Κύριλλον. Ὁ δὲ Νεστόριος, καὶ πρότερον οὐδέποτε δικαιωθείς, κατεκρίθη, καὶ ἔκτοτε οὐ διεταράχθη ὁ ἀδελφικὸς ἐκείνων σύνδεσμος (3).

---

(1) Βλ. περὶ Κυρίλλου τοῦ Ἀλεξανδρείας σελ. 136.

(2) Ὁ Μερκάτωρ γράφει, ὅτι ὁ Θεοδώρητος ἔγραψε κατὰ τοῦτον τὸν χρόνον κατὰ Κυρίλλου τὸ Πενταλόγιον σύγγραμμα, διασωθὲν μόνον ἐν τεμαχίῳ (ἐξεδ. inter Op. Mercat. T. II. p. 267-271. in Garnier. Auct. Op. Theod. p. 40-50).

(3) Ἐπ. Θεοδωρ. πγ´ Λεόντιος ὁ Βυζάντιος ἔγραφεν ἔτι ἐν τῷ ς´ αἰῶνι: «Ἰστέον, ὅτι φέρονταί τινες ἐπιστολαὶ Θεοδωρήτου καὶ Νεστορίου, ἐν αἷς ἀλλήλους ἀποδέχονται. Πλασταὶ δέ εἰσι. Πλάττουσι δὲ αὐτὰς οἱ αἱρετικοί, τοῦ μάχεσθαι δι᾽ αὐτῶν πρὸς τὴν Σύνοδον (τῆς Ἐφέσου)»· κατὰ αἱρ. σελ. 454. Αὐτὸς ὁ ἅγ. Κύριλλος ἔγραφε πρὸς τὸν Οὐαλεριανόν: «Ἐὰν τοίνυν, καταψευδόμενοί τινες, λέγωσιν ἕτερά τινα παρὰ ταῦτα φρονεῖν αὐτοὺς (τοὺς Ἀνατολικούς), μὴ πιστευέσθωσαν· ἀλλ᾽ ὡς ἀπατεῶνες καὶ ψεῦσται κατὰ τὸν αὐτῶν πατέρα τὸν διάβολον ἀποπεμπέσθωσαν, ἵνα μὴ ταράττωσι τοὺς ἐθέλοντας ὀρθοποδεῖν. Ἐὰν δὲ καὶ ἐπιστολὰς ἑαυτοῖς συντιθέντες τινές, περιφέρωσιν, ὡς ἐκ προσώπου γραφείσας ἀνδρῶν ἐπιφανεστέρων, οὐκ ὀφείλουσι θαρσεῖσθαι». Ὁ Γαρνιῆρος, συλλέξας (μετὰ τὸν Σιρμόνδιον) τὸν νέον τόμον τῆς ἀλληλογραφίας τοῦ Θεοδωρήτου, οὐδαμῶς ἔστρεψε τὴν ἑαυτοῦ προσοχὴν εἰς ταύτας τὰς μαρτυρίας τοῦ Λεοντίου καὶ αὐτοῦ τοῦ Κυρίλλου. Ἑπόμενοι ταύταις ταῖς μαρτυρίαις, ὀφείλομεν ἀποδέξασθαι ὡς νόθους τὰς οὕτω καλουμένας ἐπιστολὰς τοῦ Θεοδωρήτου: α´] πρὸς τὸν Νεστόριον in Garnier auct. p. 74, 95, 646· β´] πρὸς Ἰωάννην τὸν Ἀντιοχείας περὶ τοῦ θανάτου τοῦ Κυρίλλου (Baron. ad an. 444. n. 13. ep. 180 Garnieri). Ὁ τὴν τελευταίαν ἐπιστολὴν γράψας οὐκ ἠδύνατο σκοπῆσαι καὶ τοῦτο, ὅτι ὁ Κύριλλος ἐτελεύτησεν οὐκ ἐν νεαρᾷ ἡλικίᾳ, καὶ ὅτι ἦν ἤδη λίαν ὀψέ, ὅτε ἔγραφε περὶ τοῦ θανάτου τοῦ Κυρίλλου τῷ Ἀντιοχείας Ἰωάννῃ, πρὸ πολλοῦ ἤδη ὄντι

Μετὰ δὲ τὸν θάνατον τοῦ ἁγίου Κυρίλλου (τῷ 444) ἀπέκειτο τῷ μακαρίῳ Θεοδωρήτῳ εἰς πεῖραν γενέσθαι χαλεπῶν καὶ μεγάλων πειρασμῶν [θ]. Διόσκορος, ὁ τοῦ Κυρίλλου διάδοχος, ὁ φιλόδοξος καὶ λυσσαλέος ὁμόφρων τῷ Εὐτυχεῖ, ἤγειρε κατὰ Θεοδωρήτου δεινὸν διωγμόν. Τὸ μὲν πρῶτον ἐπέστειλε κατὰ τοῦ Θεοδωρήτου τῷ Π. Ἀντιοχείας Δόμνῳ, ὡς τὴν Νεστορίου, δῆθεν κακοδοξίαν ὑποθάλποντος, καὶ εἰς υἱοὺς δύο τὸν ἕνα Κύριον καὶ Σωτῆρα καταμερίζοντος, ἔπειτα δὲ καὶ αὐτῷ τῷ Θεοδωρήτῳ, ἔγραψεν ἐμμανῶς λίαν καὶ ἀποτόμως κατακρίνων αὐτόν. Εἰς μάτην ὁ μακ. διδάσκαλος πρᾳοτάτοις γράμμασι καὶ ὁμολογίᾳ τῆς πίστεως ἀπελογεῖτο ὑπὲρ ἑαυτοῦ[ι]. Ὁ Διόσκορος ἀπέστειλεν εἰς Κ/πολίν τινας τῶν ὑφ' αὐτὸν ἐπισκόπων κατηγορήσοντας τὸν Θεοδώρητον καὶ τοὺς ἄλλους τῆς Ἀνατολῆς ἐπισκ. νεστοριανισμοῦ[κ]. Ὁ Θεοδόσιος ῥᾳδίως πιστεύων ἄνευ ἐξετάσεως ταῖς συ-

---

ἐν τῷ τάφῳ· γ'] τοιαύτη ἐστὶν ἐπ' ἴσης ἡ ἐπιστολὴ πρὸς Δόμνον τὸν Ἀντιοχ. ὡς καὶ ἡ πρὸς Ἀβούνδιον [Garnier. auct. p. 1362). Ἐντεῦθεν πάνυ ἄδικαὶ περὶ τοῦ μακαρ. Θεοδωρήτου ἐρρέθησαν ἐν τῇ «Χρισταν. Ἀναγν.» Τ. X. I. 444-49, ἔνθα τυφλῶς ἠκολούθησαν τῷ φανατικῷ Γαρνιήρῳ.

[θ] «Ἔδει γὰρ ὡς ἐν χωνευτηρίῳ αὐτὸν καὶ αὖθις καθιέσθαι, ἵν' ἐντεῦθεν καθαρώτερον αὐτοῦ τῆς πίστεως ἀναφανῇ τὸ δοκίμιον» (Εὐγεν. ἐν β. τοῦ μακ. Θεοδωρήτου σ. 37). Σ. Μ.

[ι] Ὁ μακάριος Θεοδώρητος ἐν τῇ πρὸς τὸν παλαμναῖον Διόσκορον ἐπιστολῇ αὐτοῦ εἰπών, ὅτι στοιχεῖ τοῖς δόγμασι τῶν τε ἐν Νικαίᾳ καὶ Ἐφέσῳ συγκροτηθεισῶν Συνόδων, ὅτι ἐμμένει ταῖς διδασκαλίαις τῶν πανσόφων καὶ ἁγιωτάτων Πατέρων Ἀλεξάνδρου, Ἀθανασίου, Βασιλείου, Γρηγορίου καὶ τῶν ἄλλων τῆς Ἐκκλησίας φωστήρων, καὶ ὅτι διηλλάγη πρὸς τὸν θεσπέσιον Κύριλλον, ὑπεσύναψε τὸ βραχὺ μέν, ἀλλ' ἀείμνηστον τόδε τῶν Ὀρθοδόξων κήρυγμα: «Εἴ τις, φησίν, οὐχ ὁμολογεῖ τὴν ἁγίαν Παρθένον Θεοτόκον, ἢ ψιλὸν ἄνθρωπον ἀποκαλεῖ τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἢ εἰς δύο υἱοὺς μερίζει τὸν ἕνα Μονογενῆ καὶ Πρωτότοκον πάσης τῆς κτίσεως, ἐκπέσοι τῆς εἰς Χριστὸν ἐλπίδος· καὶ εἰπάτω πᾶς ὁ λαός, γένοιτο, γένοιτο! Σ. Μ.

[κ] Τότε ὁ ἱερὸς Θεοδώρητος ἡγήσατο ἀναγκαῖον ἀποταθῆναι πρὸς τὸν Πατριάρ. Κωνσταντινουπόλεως Φλαβιανὸν καὶ παραστῆσαι αὐτῷ τὴν ὑπὸ τοῦ Διοσκόρου γενομένην παρανομίαν, κατακρίναντος ἐπίσκοπον μὴ ἀνήκοντα τῇ Ἐκκλησίᾳ αὐτοῦ. «Ἄνω καὶ κάτω, λέγει, τοῦ μακαρίου Μάρκου τὸν θρόνον προβάλλεται (ὁ Διόσκορος)· καὶ ταῦτα σαφῶς εἰδώς, ὡς

κοφαντίαις, ἔγραψεν ἰδίᾳ χειρὶ διάταγμα, δι' οὗ ἐνετέλλετο τῷ Θεοδωρήτῳ μόνον ἐν Κύρῳ ποιεῖσθαι τὰς διατριβάς, καὶ κατέκρινεν αὐτὸν

τοῦ μεγάλου Πέτρου τὸν θρόνον ἡ Ἀντιοχέων μεγαλόπολις ἔχει, ὃς καὶ τοῦ μακαρίου Μάρκου διδάσκαλος ἦν, καὶ τοῦ χοροῦ τῶν Ἀποστόλων πρῶτος καὶ κορυφαῖος. Ἀλλ' ἡμεῖς τοῦ μὲν θρόνου τὸ ὕψος ἐπιστάμεθα, ἑαυτοὺς δὲ καὶ γινώσκομεν καὶ μετροῦμεν. Τὴν γὰρ ἀποστολικὴν ταπεινοφροσύνην ἄνωθεν μεμαθήκαμεν· τὴν δὲ σὴν ὁσιότητα παρακαλοῦμεν, μήτε τοὺς ἁγίους κανόνας πατουμένους παριδεῖν, καὶ τῆς θείας πίστεως ὑπερμαχῆσαι προθύμως. Εἰς ταύτην γὰρ ἔχομεν ἐλπίδα τῆς σωτηρίας, καὶ διὰ ταύτης τυχεῖν προσδοκῶμεν φιλανθρωπίας. Ἵνα δὲ μηδὲ τοῦτο ἀγνοήσῃ σου ἡ ὁσιότης, ἴσθι, Δέσποτα, ὡς τὴν πρὸς ἡμᾶς ἔσχε μικροψυχίαν, ἐξ οὗ τοῖς παρ' ὑμῖν γεγενημένοις συνοδικοῖς ἐπὶ τοῦ τῆς μακαρίας μνήμης Πρόκλου συνεθέμεθα, τοῖς τῶν ἁγίων Πατέρων κανόσιν ἀκολουθήσαντες· καὶ περὶ τούτου καὶ ἅπαξ ἡμῖν καὶ δὶς ἐνεκάλεσεν, ὡς προδεδωκόσι καὶ τῆς Ἀντιοχέων, ὡς λέγει, καὶ τῆς Ἀλεξανδρέων Ἐκκλησίας τὰ δίκαια» (ἐπ. πς'), τουτέστιν ὁ Διόσκορος ἡγεῖτο ὕβριν τοῖς θρόνοις τούτοις τὸ ὅτι ὁ ἅγιος Πρόκλος, ζῶντος ἔτι τοῦ θεσπεσίου Κυρίλλου, ὡς ἐπίσκοπος τοῦ πρώτου ἐν Ἀνατολῇ πατριαρχικοῦ θρόνου, προσεκάλει ἅπαντας τοὺς ἀνατολικοὺς ἐπισκόπους πρὸς σύμφωνον αὐτοῦ ὁμολογίαν τῆς ἐν τῇ Συνόδῳ τῆς Ἐφέσου βεβαιωθείσης ὀρθῆς πίστεως· ὡς τρανὴ ἀπόδειξις τοῦ ὅτι ἡ κατὰ τοῦ Θεοδωρήτου ἐν Ἀλεξανδρείᾳ ἐξενεχθεῖσα κατάκρισις ἦν ὄντως συκοφαντία, δύναται χρησιμεῦσαι, ὃ ἔγραψε τότε αὐτὸς ὁ κατακριθεὶς πρὸς τοὺς ἐν Κιλικίᾳ ἐπισκόπους: «Λέγουσι δέ τινες τῆς συκοφαντίας αὐτοὺς λαμβάνειν τὰς ἀφορμὰς ἔκ τινων εὐαριθμήτων παρ' ὑμῖν ταῦτα φρονούντων, καὶ εἰς δύο πρόσωπα διαιρούντων τὸν ἐνανθρωπήσαντα Θεὸν λόγον». Καὶ δείξας διὰ βραχέων ὅσον διαφέρει ἡ περὶ τῶν δύο Υἱῶν διδασκαλία τῆς ἀποστολικῆς διδασκαλίας καὶ τῆς ἐκκλησιαστικῆς παραδόσεως, προσέθηκε τάδε: «Καταξιωσάτω τοίνυν ἡ ὑμετέρα φιλοθεΐα, εἴπερ ἄρα τινὲς ὅλως εἰσίν, ἐγὼ γὰρ οὐ πείθομαι, τοῖς ἀποστολικοῖς δόγμασιν ἀπειθοῦντες, καὶ ἐπιστομίσαι αὐτοὺς καὶ ἐκκλησιαστικῶς σωφρονίσαι, καὶ διδάξαι τοῖς τῶν ἁγίων Πατέρων ἀκολουθεῖν ἴχνεσι, καὶ τὴν ἐν Νικαίᾳ τῆς Βιθυνίας ἐκτεθεῖσαν πίστιν ὑπὸ τῶν ἁγίων καὶ μακαρίων Πατέρων φυλάττειν, ἅτε δὴ τὴν εὐαγγελικὴν καὶ ἀποστολικὴν διδασκαλίαν ἐν κεφαλαίῳ διδάσκουσαν» (ἐπ. πδ'). Ἐπειδὴ δὲ ἡ κατηγορία περὶ κηρύξεως νεστοριανῶν δοξασιῶν ἐν Ἀντιοχείᾳ ἥπτετο τῆς τιμῆς οὐ μόνον τοῦ Θεοδωρήτου, ἀλλὰ καὶ τῶν

ὡς δῆθεν ταράσσοντα τὴν Ἐκκλησίαν τῷ συχνῶς συναγείρειν συνόδους. «Ἀρχιερεὺς δέ, ἔγραφεν ὁ μακάριος διδάσκαλος, πέντε καὶ εἴκοσι ἐπισκοπήσας ἔτη, καὶ τὸν πρὸ τούτου χρόνον ἐν ἀσκητηρίῳ βιώσας, οὐκ ἐνοχλήσας ποτὲ δικαστήριον, οὐδὲ παρὰ τοῦ πώποτε γραφὴν ὑπομείνας, συκοφαντίας γεγένηται παρανάλωμα, οὐδὲ τοῖς τυμβωρύχοις παραπλησίως ἀξιωθεὶς δέξασθαι πεῦσιν, εἰ ἀληθῆ τὰ κατηγορήματα» (1). Ἐπὶ δὲ τούτοις ὁ Διόσκορος, εἰς σύνοδόν τινα τοὺς ἀμφ' αὐτὸν ὁμόφρονας συναγείρας, ἀνεθεμάτισε τὸν γενναῖον τῆς ὀρθοδοξίας πρόμαχον (2). Ἡ τοῦ Διοσκόρου καὶ τῶν αὐτῷ ὁμοφρονούντων ὀργὴ ἐξερράγη πολλῷ μᾶλλον κατὰ τοῦ Θεοδωρήτου, γράψαντος τὸν Π ο λ ύ μ ο ρ φ ο ν, δι' οὗ ἄριστα ἀνεσκεύασε τὰς πλάνας τοῦ Εὐτυχοῦς. Τὸ σύγγραμμα τοῦτο διατάγματι τοῦ Θεοδοσίου παρεδόθη φλοξίν(3). Εἰ καὶ κατὰ τὸ αὐτὸ ἔτος (448) ὁ Εὐτυχής, ἀναγκασθεὶς ἀποκαλύψαι τὴν πονηρίᾳ καλυπτομένην ἀσεβῆ αὐτοῦ διδασκαλίαν, κατεδικάσθη ἐν τῇ κατὰ Κων]νούπολιν συστάσει συνόδῳ[λ], ὅμως μετ' οὐ πολὺ ὡρίσθη συγκροτηθῆναι νέαν ἐν Ἐφέσῳ Σύνοδον, ἔνθα ὁ Διόσκορος ἐδείχθη διάπυρος τῷ αἱρεσιάρχῃ ἐκείνῳ ὁμόφρων, καὶ ἐν τῷ ληστρικῷ τούτῳ συνεδρίῳ (τῷ 449) ὁ μὲν Θεοδώρητος ἐστερήθη τοῦ ἐπισκοπικοῦ ἀξιώματος, ὁ δὲ Φλαβιανὸς ἐξώσθη τοῦ θρόνου, καί, πλεῖστα ὑπὸ τῶν κακοδόξων παθών, ἐξεδήμησε πρὸς Κύ-

---

Πατριαρχῶν, ὧν ἐνώπιον δῆθεν ἐδίδασκεν οὕτω, καὶ ὁ Διόσκορος ἔπεμψεν εἰς Κωνσταντινούπολιν ἐπίσκοπον κατηγορήσοντα αὐτῶν τοῦτο, ἔγνω καὶ ὁ τῆς Ἀντιοχείας θρόνος ἀποστεῖλαι πρεσβείαν πρὸς Φλαβιανὸν τὸν Κωνσταντινουπόλεως παρακαλῶν αὐτὸν ὑπερασπίσαι τὴν πολεμουμένην ἀλήθειαν. Σ. Μ.

(1) Ἐπ. π' Εὐτρεχίῳ Ὑπάρχῳ. Ἐν τῇ ἐπιστολῇ ταύτῃ καὶ ἐν τρισὶν ἄλλαις (οθ' πα' πβ') περιγράφει καθ' ἓν ἕκαστον τὰ καθ' ἑαυτὸν καί τινα σύγχρονα γεγονότα. Βλ. καὶ τὰς ἐπ. ξ' καὶ πγ' Διοσκόρου Ἀλεξ.

(2) Ἐπ. πς'. Ἐν τῇ πρὸς τὸν Π. Λέοντα ἐπ. (ριγ') λέγει, ὅτι τοῦτο συνέβη ἓν ἔτος πρὸ τοῦ ἐν Ἐφέσ. ληστρικοῦ συνεδρίου, ἤτοι τῷ 448.

(3) P. III. conc. ephes. latroc. c. 47. Ἐν τῷ Β' Διαλ. ποιεῖται εὐφήμως μνείαν τοῦ θεσπεσίου Κυρίλλου.

[λ] Ἡ σύνοδος αὕτη, ἧς προεξῆρχεν ὁ ἅγιος Φλαβιανός, συνεκροτήθη κατὰ τὸν Νοέμβριον τοῦ 448. Σ.Μ.

ριον ἐπὶ μησὶν ἓξ ἀπὸ τῆς καθαιρέσεως [μ]. Ἐν τῇ μονῇ, ἔνθα καθεῖρκτο, ὁ Θεοδώρητος ἐστερεῖτο καὶ αὐτῶν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. Ἔγραφε δέ, ὅτι τὴν ἀναγκαίαν τροφὴν ἐπορίζετο παρὰ τοῦ καὶ τοῖς κόραξιν ἀφθόνως αὐτὴν παρέχοντος (¹). «Τὰς μὲν ἐκκλησιαστικάς, ἔγραφε Μαρανᾷ τῷ σχολαστικῷ, ὀλοφύρομαι κἀγὼ συμφοράς, καὶ τὸν ἐπικείμενον ὀδύρομαι κλύδωνα. Ἐμαυτῷ μέν τοι συνήδομαι θορύβων ἀπηλλαγμένῳ, καὶ γα-

---

[μ] Τὰ κατὰ τὸ λῃστρικὸν τοῦτο συνέδριον περιγράφει διὰ βραχέων μέν, ἀλλὰ πάνυ λαμπρῶς ὁ ἀοίδιμος Εὐγένιος. «. . . . Τοιγαροῦν, λέγει, ἐπὶ τούτοις καὶ συνέστη ἐν τῇ Ἐφεσίων πόλει τὸ λῃστρικὸν (ὃ δικαίως ἐπεκλήθη) συνέδριον. Ἔνθα τὰ μὲν ἄλλα, ἅττα τοῦ παλαμναίου Διοσκόρου λῃσταρχοῦντος, καὶ πρὸς τὸ δοκοῦν ἕκαστα αὐτοσχεδιάζοντος, βιαίως τε καὶ τυραννικῶς ἐτολμήθη, ὑπὸ τῶν ἰδίων ὑπασπιστῶν δορυφορουμένου, καὶ γυμνοῖς τοῖς ξίφεσι τοὺς συνθέσθαι μὴ βουλομένους ἐν ἀγράφῳ χάρτῃ ὑπογράψαι καταναγκάζοντος, τί χρὴ καὶ λέγειν; Ἐκεῖνο δὲ ῥᾴδιον συμβαλεῖν, ὅτι πάντα τῷ Αἰγυπτίῳ κατεπράχθη πρὸς τὸ σκοπούμενον. Καὶ γὰρ Φλαβιανὸς μὲν τοῦ θρόνου ἀποκρουσθείς, στρατιωτῶν τε χερσὶ παραδοθεὶς ὠμοτάτων ὑπερόριος ἀπαχθησόμενος, ὑπὸ τῶν πληγῶν καὶ τῆς κακώσεως φθάνει πρὸς τὴν ἄνω πατρίδα προεξελθὼν ἐπὶ μησὶν ἓξ ἀπὸ τῆς καθαιρέσεως. Δόμνος δέ, καί τοι ἀγεννῶς λίαν τῷ ὑπενδοῦναι τῇ ἀνάγκῃ, καὶ ὑπογράψαι, τὴν εὐσέβειαν καταπροδούς, καὶ τοῖς πεπραγμένοις ἅπασιν ἐπιστέρξας, οὐδ' οὕτως ἔσχε τοῦ μὴ τοῦ θρόνου ἀποπεσεῖν . . . . Ἀλλὰ καὶ Λέων ὁ μακαριώτατος Ῥώμης, καί τοι διὰ τριῶν αὐτοῦ τοποτηρητῶν παρουσιάσας τῷ συνεδρίῳ, καὶ ὑψηλὸν βρυχήσας καὶ διάτορον, οὐδὲν ἴσχυσεν οὔτε τοῖς ἄλλοις, οὔθ' ἑαυτῷ ἐπαμῦναι, ἀπήλαυσε δὲ καὶ αὐτὸς τῆς τοῦ λύκου λύττης τοῦ Διοσκόρου τὸ μέρος, εἰς τρίτην ἀπὸ τῆς συνόδου καταψηφισθεὶς ἀκοινώνητος. Ὁ δὲ Θεοδώρητος, μηδ' ἐφ' αἷς δίκας εἰσπράττετο αἰτίαις ἀνακριθείς, πέντε δὲ καὶ τριάκοντα σταθμοῖς ἀφεστηκώς, ὑπὸ τῶν ἐν Ἐφέσῳ, μένων ἐν Συρίᾳ, ᾗ προσετέτακτο, καὶ πάσης μὲν ἐκκλησιαστικῆς τάξεως ἀπελαθείς, πορρωτάτω δὲ καὶ τῆς τῶν εὐσεβούντων μοίρας καταγνωσθείς, ἔτι καὶ ἐξορίαν προκαταδικάζεται, ἓν τοῦτο τοῦ μὴ παραστῆναι τῇ συνόδῳ παρακερδάνας, τὸ μὴ τραυματίας κατὰ τὸν Φλαβιανὸν καὶ αὐτὸς ἀπαχθῆναι, μηδὲ τῆς ὑπερορίου ἀλλάξαι τὸν ἐκ τῶν μωλώπων καὶ τῆς κακώσεως θάνατον . . . » (β. τοῦ μακ. Θεοδωρ. σελ. 41-42). Σ. Μ.

(¹) Ἐπ. ρκγ'. Οὐρανίῳ ἐπισκόπῳ Ἐμέσης.

λήνης ἀπολαύοντι τῆς ἐρασμίας μοι. Οὓς δὲ καὶ νῦν ἀδικεῖν ἡ σὴ παίδευσις εἴρηκεν, οὐκ εἰς μακρὸν τίσουσι δίκας, ὧν νῦν παρανόμως τολμῶσι. Σταθμῷ γὰρ ἅπαντα καὶ μέτρῳ πρυτανεύει ὁ τῶν ὅλων Κύριος· καὶ ὅταν τινὲς εἰς ἀμετρίαν παρανομίας ἐκπέσωσι, μακροθυμεῖ μὲν οὐκέτι, δικαστικῶς δὲ λοιπὸν ἐπιφέρει τὴν τιμωρίαν. Ταῦτα προορῶντες ἡμεῖς παύσασθαι αὐτοὺς τῆς ἀμετρίας εὐχόμεθα· ἵνα μὴ κολαζομένους ὁρῶντες, πάλιν αὐτοὺς θρηνεῖν βιαζώμεθα...»(1). Μεριμνῶν δὲ οὐ τοσοῦτον περὶ ἑαυτοῦ, ὅσον περὶ τῆς ὀρθοδοξίας, ἔπεμψε τῷ 449 πρὸς τὸν Π. Λέοντα πρέσβεις [ν], ἱκετεύων αὐτὸν χεῖρα βοηθείας ὀρέξαι (2) [ξ]. Κατὰ τὸν αὐτὸν χρόνον ἠσχολεῖτο περὶ τὴν

---

(1) Ἐπιστ. ρκδ΄. Βλ. καὶ ἐπ. ριδ΄ ρις΄ ριθ΄ ρλα΄ κατὰ τὸν αὐτὸν χρόνον γραφείσας. Κομισάμενος ὁ Θεοδώρητος τὴν πρώτην εἴδησιν περὶ τῆς ἐν τῷ ληστρικῷ συνεδρίῳ καταδίκης αὐτοῦ, ἔγραψεν Εὐσεβίῳ τῷ σχολαστικῷ: «Οἱ μὲν τὴν μεγίστην ταύτην κατασπείροντες φήμην, ᾠήθησαν ταύτῃ πάντως ἀνιάσειν ἡμᾶς, δυσάγγελον αὐτὴν ἄγαν ὑπειληφότες. Ἡμεῖς δὲ διὰ τὴν θείαν χάριν, καὶ τὴν φήμην ἀσπασίως ἐδεξάμεθα, καὶ τὴν πεῖραν ἀσμένως προσμένομεν· καὶ πᾶν ὁτιοῦν ἀλγεινόν, ὑπὲρ τῶν θείων δογμάτων ἐπιφερόμενον, λίαν ἡμῖν ἐστιν ἀξιέραστον. Εἰ γὰρ ἀληθῶς ταῖς δεσποτικαῖς ἐπαγγελίαις πιστεύομεν, οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Καὶ τί λέγω τῶν ἐλπιζομένων ἀγαθῶν τὴν ἀπόλαυσιν; Εἰ γὰρ μηδὲν ὅλως ἆθλον ὑπὲρ εὐσεβείας ἀγωνιζομένοις ἐδίδοτο, ἤρκεσεν ἂν καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ ἀλήθεια πεῖσαι τοὺς ἑαυτῆς ἐραστὰς σὺν εὐθυμίᾳ πάσῃ τοὺς ὑπὲρ αὐτῆς κινδύνους ἀσπάσασθαι . . . » (ἐπ. κα΄.) Τοῖς συμβουλεύουσιν αὐτῷ ἄγειν σιγὴν ἀπεκρίνετο, «ὅτι ὁ λόγος τοῦ Θεοῦ οὐ παρεγγυᾷ σιωπᾶν περὶ τῆς ἀληθείας, καὶ ὅτι ἡ ἀρετὴ οὐ μόνον σωφροσύνην, καὶ δικαιοσύνην, καὶ φρόνησιν, ἀλλὰ καὶ ἀνδρείαν ἔχει, καὶ δι' αὐτῆς κατορθοῦνται κἀκεῖναι, διότι ἡ δικαιοσύνη εἰς τὸν κατὰ τῆς ἀδικίας πόλεμον δεῖται τῆς ἀνδρείας συμμάχου» (ἐπ. ρκβ΄).

[ν] Οἱ πρέσβεις οὗτοι ἦσαν Ἀβράμιος καὶ Ὑπάτιος δύο τῶν περὶ αὐτὸν χωρεπισκόπων, καὶ σὺν αὐτοῖς Ἀλύπιος, ὃς ἦν ἔξαρχος τῶν κατὰ τὴν Εὐφρατησίαν μοναζόντων.

(2) Ἐπ. ριγ΄ Λέοντι ἐπισκ. Ῥώμης. Leon. ep. 22, 24, 27.

[ξ] Ὁ μακάριος Θεοδώρητος ἐπέστειλε καὶ Ρενάτῳ τῷ πρεσβυτέρῳ, ὃς ἐγένετο εἷς τῶν κατὰ τὸ ἐν Ἐφέσῳ ληστρ. συνέδριον τοποτηρητῶν τοῦ Λέοντος, δεόμενος αὐτοῦ «πεῖσαι τὸν ἁγιώτατον καὶ ὁσιώτατον ἀρχιεπί-

συγγραφὴν τῆς ἐκκλησιαστικῆς αὐτοῦ ἱστορίας(¹). Τελευτήσαντος τῷ 450 τοῦ Θεοδοσίου, τοῦ δὲ εὐσεβοῦς Μαρκιανοῦ καὶ τῆς Πουλχερίας ἀναλαβόντων τὴν κυβέρνησιν τῆς Αὐτοκρατορίας, ὁ Θεοδώρητος, αἰτίας πάσης ἀπαλλαγείς, ἐπανῆλθεν εἰς τὸ ποίμνιον αὐτοῦ. Τῷ δὲ 451 συνεκροτήθη ἡ ἐν Χαλκηδόνι Οἰκουμενικὴ Σύνοδος. Ὁ Θεοδώρητος ἐδεήθη τοῦ Αὐτοκράτορος, ἵνα καὶ ἡ ὑπόθεσις αὐτοῦ ἐξετασθῇ ἐν τῇ Συνόδῳ (²)· προσεκλήθη δὲ καὶ ὁ Θεοδώρητος, ἵνα συνεδριάσῃ ἐν αὐτῇ. Οἱ Αἰγύπτιοι ἐπίσκοποι, οὐ θέλοντες ἐπιτρέψαι αὐτῷ τοῦτο, δεινήν τινα ἔριδα καὶ στάσιν ἐκίνησαν ἐν τῇ Συνόδῳ[ο]· ἀλλὰ θελήσει τοῦ Αὐτοκράτορος καθέσθη ἐν τοῖς Πατρά-

σκοπον τῇ ἀποστολικῇ χρήσασθαι ἐξουσίᾳ καὶ εἰς τὸ ὑμέτερον ἀναδραμεῖν κελεῦσαι συνέδριον . . . τὰ γὰρ παρ' ὑμῶν κριθησόμενα στέρξομεν, ὁποῖα ἂν ᾖ, τῇ ὑμετέρᾳ δικαιοκρισίᾳ θαρροῦντες . . . » (ἐπ. ρις'). Καὶ τῷ ἀρχιδιακόνῳ Ῥώμης ἐπέστειλεν ἐπ' ἴσης παρακαλῶν αὐτὸν « πυρσεῦσαι τὸν ζῆλον τοῦ κατὰ πάντα ἁγιωτάτου καὶ ὁσιωτάτου ἀρχιεπισκόπου, ὥστε καὶ τὰς τῆς Ἀνατολῆς Ἐκκλησίας τῆς ὑμετέρας ἀπολαῦσαι κηδεμονίας· καὶ διαφερόντως τῆς ἄνωθεν παρὰ τῶν ἱερῶν Ἀποστόλων παραδοθείσης ὑπερμαχῆσαι πίστεως, καὶ ἄσυλον τὸν πατρῷον κλῆρον διαφυλάξαι, καὶ τὴν ἐπικειμένην ὁμίχλην ἀποσκεδάσαι, καὶ ἀντὶ τῆς σκοτομήνης καθαρὰν αἰθρίαν ἐργάσασθαι . . . » (ἐπ. ριη'). Σ. Μ.

(¹) Αἱρ. κακομυθ. λόγ. Δ' κεφ. α'. « Ἀλλὰ ταῦτα διὰ πλάτους ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ συγγράψας, περιττὸν ἡγοῦμαι ταῦτα λέγειν.

(²) Τῆς ἐν Χαλκηδ. Οἰκουμ. Συν. Πρ. Δ'.

[ο] Οὐ μόνον οἱ Αἰγύπτιοι, ἀλλὰ καὶ οἱ Παλαιστινοί, καὶ σὺν αὐτοῖς οἱ Ἰλλυρικοί, εἰσελθόντος τοῦ Θεοδωρήτου εἰς τὴν Σύνοδον, ἐγερθέντες ἐξεβόων ὡς μαινόμενοι: « Ἐλεήσατε, ἡ πίστις ἀπόλλυται· οἱ κανόνες τοῦτον ἐκβάλλουσι· τοῦτον ἔξω βάλε· τὸν Ἰουδαῖον ἔξω βάλε· τὸν ὑβρίσαντα τὸν Χριστὸν ἔξω βάλε· Κύριλλον οὗτος ἀνεθεμάτισε· φωνὴν οὐκ ἔχει· φωνὴν οὐκ ἔχει· ἐπὶ πάσης τῆς συνόδου καθήρηται (τῆς λῃστρικῆς ἐκείνης μοι νόει). Κύριλλον ἐκβάλλομεν, ἐὰν Θεοδώρητον λάβωμεν. Οἱ κανόνες τοῦτον ἐξέβαλλον, τοῦτον ὁ Θεὸς ἀπεστράφη. » Οἱ δ' ἄλλοι πάντες, οἱ Ἀνατολικοί, οἱ Ποντικοί, οἱ Ἀσιανοί, καὶ οἱ ἀπὸ Θρᾴκης ἐπίσκοποι, ἐξ ἐναντίας φερόμενοι, ἀντεβόων: « εἰς ἄγραφα ὑπεγράψαμεν· ἐτυπτήθημεν, καὶ ὑπεγράψαμεν ». Ἔπειτα πρὸς τοὺς τολμητίας ἐκείνους ἀποτεινόμενοι: « Τοὺς Μανιχαίους ἔξω βάλε· τοὺς ἐχθροὺς Φλαβιανοῦ ἔξω βάλε· τοὺς ἐχθροὺς τῆς πίστεως ἔξω βάλε· Διόσκορον τὸν φονέα ἔξω

σι τῆς Συνόδου, καὶ ἐν τῇ ὀγδόῃ συνεδριάσει, ἐν ᾗ ἐξητάσθησαν τὰ κατ᾽ αὐτόν, ἐκηρύχθη πανηγυρικῶς ἀθῶος. Ἅπαντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν: «Θεοδώρητος ἄξιος τοῦ θρόνου· τῇ Ἐκκλησίᾳ τὸν ὀρθόδοξον· ἡ Ἐκκλησία τὸν Ποιμένα ἀπολάβῃ. Τὸν ὀρθόδοξον διδάσκαλον ἡ Ἐκκλησία ἀπολάβῃ· τοῦ θρόνου Θεοδώρητος ἄξιος» (1) [π]. Ἐπανελθὼν εἰς Κύρον ὁ Θεοδώρη-

---

βάλε· Διοσκόρου τὰς πράξεις τίς οὐκ οἶδε; τοὺς φονέας ἔξω βάλε· τοὺς ἀνασειστὰς ἔξω βάλε.» Κατασιγασάντων τὸν θόρυβον τῶν ὡς ἐκ τοῦ Αὐτοκράτορος προεδρευόντων Ἀρχόντων καὶ Συγκλητικῶν, ἐκαθέσθη ἐν τῷ μέσῳ ὁ Θεοδώρητος, ὅπερ χαρᾶς ἐνέπλησε τοὺς Ἀνατολικοὺς καὶ τοὺς σὺν αὐτῷ εὐλαβεστάτους ἐπισκόπους, ἐκβοήσαντας: Ἄξιος, ἄξιος. τὸν ὀρθόδοξον τῇ Συνόδῳ. Σ. Μ.

(1) Facund. pro defens. trium cap. lib. V. c. 5. Τῆς ἐν Χαλκηδ. Συν. Πρ. Α' καὶ Η'. Βλ. περὶ τοῦ Ἀνατολίου.

[π] Ἀρέσκει ἡμῖν παραθεῖναι ἐπὶ λέξεως τὴν εἰς τὸν μακάριον Θεοδώρητον ἀφορῶσαν ὀγδόην συνοδικὴν πρᾶξιν, ἔχουσαν ὧδε: «Καθεσθέντων πάντων πρὸ τῶν καγγέλων τοῦ ἁγιωτάτου θυσιαστηρίου, οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν, Θεοδώρητος ἄρτι ἀναθεματίσει, Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος παρελθὼν ἐν τῷ μέσῳ εἶπε: καὶ δεήσεις ἐπιδέδωκα τῷ θειοτάτῳ καὶ εὐσεβεστάτῳ βασιλεῖ καὶ λιβέλλους ἐπιδέδωκα τοῖς εὐλαβεστάτοις ἐπισκόποις, τοῖς διέπουσι τὸν τόπον τοῦ εὐλαβεστάτου Ἀρχιεπισκόπου Λέοντος, καὶ εἰ δοκεῖ ὑμῖν ἀναγινώσκονται ὑφ᾽ ὑμῶν, καὶ μανθάνετε ὅπως φρονῶ. Οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· ἀναγνωσθῆναι οὐδὲν θέλομεν. Νεστόριον ἄρτι ἀνεθεμάτισαν». Θεοδώρητος ὁ εὐλαβέστατος ἐπίσκοπος εἶπεν, ἐγὼ διὰ τὴν τοῦ Θεοῦ χάριν, καὶ παρ᾽ ὀρθοδόξοις ἐτράφην, καὶ ὀρθοδόξως ἐδιδάχθην, καὶ ὀρθοδόξως ἐκήρυξα. καὶ οὐ μόνον Νεστόριον καὶ Εὐτυχῆ, ἀλλὰ καὶ πάντα ἄνθρωπον μὴ φρονοῦντα ὀρθῶς ἀποστρέφομαι, καὶ ἀλλότριον ἡγοῦμαι. Καὶ ἐν τῷ λέγειν αὐτόν, οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν· φανερῶς εἰπέ· Ἀνάθεμα Νεστορίῳ, καὶ τοῖς δόγμασιν αὐτοῦ· ἀνάθεμα Νεστορίῳ καὶ τοῖς φιλοῦσιν αὐτόν· Θεοδώρ. ὁ εὐλ. Ἐπίσκοπος εἶπεν. Ἐπ᾽ ἀληθείας οὐ λέγω, εἰμὴ ὡς οἶδα ἀρέσκειν τῷ Θεῷ, πρῶτον πείσω ὑμᾶς, ὅτι οὔτε πόλεως φροντίζω, οὔτε τιμῆς χρήζω, οὔτε διὰ τοῦτο παρεγενόμην· ἀλλ᾽ ἐπειδὴ ἐσυκοφαντήθην, ἦλθον πληροφορῆσαι, ὅτι ὀρθόδοξός εἰμι, καὶ ὅτι Νεστόριον καὶ Εὐτυχῆ καὶ πάντα ἄνθρωπον δύο Υἱοὺς λέγοντα ἀναθεματίζω Καὶ ἐν τῷ λέγειν αὐτόν, οἱ εὐλαβέστατοι

τος [ρ], ἐγκατέκλεισεν ἑαυτὸν ἐν τῇ παρὰ τὴν Κύρον φιλτάτῃ αὐτῷ μονῇ, ἔνθα τῆς ἀληθοῦς καὶ Θεῷ συναπτούσης φιλοσοφίας γυμνά-

---

ἐπίσκοποι ἐβόησαν· εἰπὲ φανερῶς ἀνάθεμα Νεστορίῳ, καὶ τοῖς φρονοῦσι τὰ αὐτοῦ. Θεοδωρ. ὁ εὐλ. ἐπίσκοπος εἶπεν· ἐγώ, ἐὰν μὴ ἔκθωμαι ὅπως πιστεύω, οὐ λέγω. Πιστεύω δέ . . . Καὶ ἐν τῷ λέγειν αὐτόν, οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν οὗτος αἱρετικός ἐστιν· οὗτος Νεστοριανός ἐστιν· τὸν αἱρετικὸν ἔξω βάλε· Θεοδώρ. ὁ εὐλ. ἐπίσκ. εἶπεν. Ἀνάθεμα Νεστορίῳ, καὶ τῷ μὴ λέγοντι τὴν ἁγίαν Παρθένον Μαρίαν Θεοτόκον, καὶ τῷ εἰς δύο Υἱοὺς μερίζοντι τὸν ἕνα Υἱὸν τὸν Μονογενῆ. Ἐγὼ δὲ καὶ τῷ ὅρῳ τῆς πίστεως ὑπέγραψα, καὶ τῇ ἐπιστολῇ τοῦ ὁσιωτάτου Ἀρχιεπισκόπου Λέοντος· καὶ οὕτω φρονῶ· καὶ μετὰ ταῦτα πάντα σώζεσθε. Οἱ εὐλαβέστατοι Ἄρχοντες εἶπον· ἡ πᾶσα λοιπὸν περὶ Θεοδωρήτου τοῦ θεοφιλεστάτου ἀμφιβολία λέλυται· καὶ γὰρ Νεστόριον ἐπὶ ὑμῶν ἀνεθεμάτισε, καὶ παρὰ τοῦ θεοφιλεστάτου καὶ ἁγιωτάτου Ἀρχιεπισκόπου Λέοντος τῆς πρεσβυτέρας Ρώμης προσεδέχθη, καὶ τὸν ὅρον τῆς πίστεως, τὸν παρὰ τῆς ὑμετέρας θεοσεβείας δοθέντα, ἐδέξατο ἀσμένως. Καὶ τοῦτο ἔτι μὲν καὶ τῇ ἐπιστολῇ τοῦ μνημονευθέντος ὁσιωτάτου Ἀρχιεπισκ. Λέοντος καθυπέγραψε. Λείπεται τοίνυν ψῆφον ἐξενεχθῆναι παρὰ τῆς θεοφιλίας τῆς ὑμετέρας, ὥστε καὶ τὴν Ἐκκλησίαν αὐτὸν ἀπολαβεῖν, καθὼς καὶ ὁ ὁσιώτατος Ἀρχιεπίσκοπος Λέων ἐδικαίωσε. Πάντες οἱ εὐλαβέστατοι ἐπίσκοποι ἐβόησαν. Θεοδώρητος ἄξιος τοῦ θρόνου· τῇ Ἐκκλησίᾳ τὸν ὀρθόδοξον· ἡ Ἐκκλησία τὸν ποιμένα ἀπολάβῃ· τὸν ὀρθόδοξον διδάσκαλον ἡ Ἐκκλησία ἀπολάβῃ· τοῦ θρόνου Θεοδώρητος ἄξιος. Τοῦ Ἀρχιεπισκόπου Λέοντος πολλὰ τὰ ἔτη· μετὰ τοῦ Θεοῦ Λέων ἐδίκασεν· ὁ λαὸς τὸν ὀρθόδοξον ἀπολάβῃ· ἄξιε τοῦ θρόνου· Θεοδωρήτῳ τῷ ἐπισκόπῳ ἡ Ἐκκλησία ἀποδοθῇ.» Σ. Μ.

[ρ] Ἐπανελθὼν πρὸς τὸ ποίμνιον αὐτοῦ, ἐνεπλήσθη ἄκρας χαρᾶς κομισάμενος ἐπιστολὴν πρὸς αὐτὸν τοῦ ἁγ. Λέοντος. Ὁ μακαριώτατος Πάπας συνέχαιρε τῷ ἀδελφῷ αὐτοῦ ἐπὶ τῇ νίκῃ, ἣν ἤρατο ἀπὸ τῶν αἱρέσεων τοῦ Νεστορίου καὶ τοῦ Εὐτυχοῦς, καὶ ἐδήλου τὴν χαρὰν αὐτοῦ ἐπὶ τῷ ὅτι ἡ ὑπ' αὐτοῦ ἐξενεχθεῖσα ἀπόφασις ἐπεκυρώθη ὑπὸ τῆς ἀμετακλήτου συμφωνίας ἁπάσης τῆς ἀδελφότητος. Σύναμα δὲ συνεβούλευεν αὐτῷ καταπολεμεῖν τὰς πλάνας τῶν μνημονευθέντων αἱρεσιαρχῶν καὶ ἀναθεματίζειν αὐτὰς ἐνώπιον τῶν ἀκροατῶν αὐτοῦ. Οὐχ ἧττον δ' ἐχάρη ὁ μακάριος διδάσκαλος ἐπὶ τῷ ἀκυρωθῆναι ὑπὸ τοῦ Αὐτοκράτορος Μαρκιανοῦ τὸ τοῦ Θεοδοσίου διάταγμα, δι' οὗ διετάσσετο καταστρέφειν τὰ συγγράμματα αὐτοῦ, καθάπερ καὶ τὰ τοῦ Νεστορίου. Σ. Μ.

σιον ἐποιεῖτο (1). Οὐκ ἐπαύετο δὲ πολλὰ καὶ ἄλλα συγγράμματα ἐπὶ τοῖς ὑπ' αὐτοῦ προγεγραμμένοις προσφιλοπονῶν. Κατὰ παράκλησιν τοῦ Ὑπάτου Σποραχίου ἔγραψε τῷ 453 τὴν ἐπιτομὴν τῆς αἱρετικῆς κακομυθίας (2)· ἔπειτα δέ, κατὰ παράκλησιν τῶν μαθητῶν αὐτοῦ, ἔγραψε τὴν ἐξήγησιν εἰς τὴν Ὀκτάτευχον, εἰς τὰ τῶν Βασιλειῶν, καὶ εἰς τὰ Παραλειπόμενα (3).

Τῷ 457ῳ σωτηρίῳ ἔτει ἐξεδήμησε πρὸς Κύριον ἑβδομηκοστόν που τῆς ἡλικίας ἐνιαυτὸν ἄγων (4). Οἱ Εὐτυχιανοὶ διετέλουν μισοῦντες τὸν Θεοδώρητον· ταῖς ῥαδιουργίαις δ' αὐτῶν ἐπὶ ἔτεσιν ἑκατὸν ἀπὸ τῆς τελευτῆς διεταράχθη ἡ μνήμη αὐτοῦ. Ὁ Αὐτοκράτωρ Ἰουστινιανός, ποθῶν ἑνῶσαι αὐτοὺς τῇ Ἐκκλησίᾳ, διέταξε κατακρῖναι ἐκ τῶν βιβλίων τοῦ μακαρίου ἀνδρὸς τὰ οὐκ ἀρέσκοντα αὐτοῖς, καὶ ἡ Ε΄ Οἰκουμενικὴ Σύνοδος ἀπεκήρυξε δι' ἀναθέματος τὰ κατὰ Κυρίλλου τε καὶ τῆς ἐν Ἐφέσῳ Συνόδου συντεταγμένα, τὰ δ' ἄλλα συγγράμματα αὐτοῦ καὶ αὐτὸν τὸν συγγραφέα ἀκατάγνωστον προσωπικῶς ἀφῆκε καὶ τῆς κοινωνίας ἄξιον ἀνεκήρυξεν [σ].

(1) Ἐπ. ρμς΄ Ἰωάννῃ Οἰκονόμῳ.

(2) Ὁ Σποράκιος ἦν εἷς τῶν ἐν τῇ Συνόδῳ τῆς Χαλκηδόνος τοποτηρητῶν τοῦ Αὐτοκράτορος, εἶτα δὲ Ὕπατος (τῷ 452). «Ἐν δὲ τῷ τετάρτῳ (βιβλίῳ) τὰς νεωτέρας ἐπιδείξομεν αἱρέσεις· τὴν Ἀρείου φημί, καὶ Εὐνομίου, καὶ ὅσαι μετ' ἐκείνας ἐφύησαν, μέχρι ταύτης τῆς ἐσχάτης, ἣν ἀθρόον ὁ Δεσπότης ἀνέσπασε πρόρριζον». Ἡ τελευταία αὕτη ἐστὶν ἀναμφιβόλως ἡ τοῦ Εὐτυχοῦς.

(3) Περὶ τῆς Ὀκτατεύχου ὁμιλεῖ ἐν τῷ προλόγῳ εἰς τὴν ἑρμηνείαν τῶν βιβλίων τῶν Βασιλειῶν. Καὶ ἐνταῦθα λέγει ἐπ' ἴσης, ὅτι ἡ ἑρμηνεία ἐγράφη, κατὰ παράκλησιν τοῦ φιλτάτου τῶν παίδων Ὑπατίου. Ἐν δὲ τῇ πρώτῃ ἐρωτήσει εἰς τὸ Λευϊτικὸν ὁμιλεῖ περὶ συγγράμματος πρὸς Ἕλληνας καὶ πρὸς τὰς αἱρέσεις, περὶ ἑρμηνείας τῶν Προφητῶν καὶ τῶν ἐπιστολῶν τοῦ Παύλου.

(4) Ὁ Γεννάδιος γράφει, ὅτι ὁ «Θεοδώρητος ἦν ζῶν, ἡνίκα Λέων ὁ θρᾲξ τῶν τῆς ἀρχῆς ἥψατο σκήπτρων».

[σ] Ὁ ἅγιος Γρηγόριος ὁ Μέγας ἔγραφεν ἐξ ὀνόματος τοῦ Πάπα Βιγιλίου τοῦ Β΄ τάδε: «Οὐ πάντα τὰ συγγράμματα τοῦ Θεοδωρήτου κατακρίνομεν, ἀλλὰ μόνον, ἃ ἔγραψέ ποτε κατὰ τῶν δώδεκα Κεφαλαίων τοῦ Κυρίλλου, κατὰ τῆς ὀρθῆς πίστεως . . . Τὰ δ' ἄλλα αὐτοῦ συγγράμματα οὐ μόνον ἀποδεχόμεθα, ἀλλὰ καὶ χρώμεθα αὐτοῖς κατὰ τῶν ἐχθρῶν». Ὅπως δὲ δείξῃ, ἡλίκην ὠ-

Ἰωάννης ὁ Εὐχαΐτων, ἀνὴρ ἐπὶ σοφίᾳ καὶ ἁγιότητι διαπρέψας (τῷ 1054) ἔγραψεν ἐν ἰάμβοις περὶ τοῦ φερωνύμου τούτου Πατρὸς τάδε:

Ἐξιστορήσας τοὺς σοφοὺς διδασκάλους,
Καὶ τὸν Θεοδώρητον αὐτοῖς ἐγγράφω,
Ὡς ἄνδρα θεῖον, ὡς διδάσκαλον μέγαν,
Ὡς ἀκράδαντον ὀρθοδοξίας στύλον.
Ἂν δ' ἐκλονήσθη μικρὸν ἔκ τινος τύχης,
Ἄνθρωπος ἦν, ἄνθρωπε, μὴ κατακρίνῃς.
Οὐ γὰρ τοσοῦτον δυσσεβὴς ἦν ὁ κλόνος,
Ὅσον μετεῖχε τῆς ἐριστικῆς βίας.
Τί γάρ; Κύριλλον πανταχοῦ νικᾶν ἔδει;
Καὶ δογματιστὴν ὄντα καὶ λογογράφον;
Ὅμως δὲ τούτῳ καὶ διώρθωται πάλιν·
Τὰ δ' ἄλλα πάντα τῶν μεγίστων ποιμένων,
Βλέπων τὸν ἄνδρα μηδενὸς λελειμένον,
Ἐνταῦθα τούτοις εἰκότως συνεγγράφω [*].

φέλειαν παρέχουσι τοῖς ὀρθοδόξοις τὰ συγγράμματα τοῦ μακαρ. Διδασκάλου, λέγει περὶ τῆς εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων ἑρμηνείας αὐτοῦ: «Ἐν' ᾧ ὁ Θεόδωρος (ὁ Μοψουεστίας), γνοὺς ἑρμηνεῦσαι τοῦτο τὸ βιβλίον, ἔγραψεν οὐχ ἑρμηνείαν, ἀλλὰ φλυαρίας τινάς, ὁ Θεοδώρητος, ἐπικρίνων τοῦτο, εἰ καὶ οὐκ ἐμνημόνευσε τοῦ ὀνόματος αὐτοῦ, κατέδειξε τὴν ἀφροσύνην αὐτοῦ. Πῶς δὲ λέγουσιν οὐδὲν τῶν συγγραμμάτων τοῦ Θεοδωρήτου ἀποδεχόμεθα, ὅτε εὑρίσκομεν ἐν αὐτῷ μάρτυρα τῆς ἀληθείας κατὰ τοῦ Θεοδώρου;» Pelagii Papæ II. ep. 111 ad Eliam et episcopos Istriæ. Patrologiæ Cours. T. LXXII p. 734, 736. Ὅτι ἡ ἐπιστολὴ αὕτη ἐγράφη ὑπὸ τοῦ ἁγίου Γρηγορίου τοῦ Μ. βλ. Vita S. Gregorii Magni Patrol. g. T. LXXV p. 273. Αὐτὸς ὁ ἅγ. Γρηγόριος, ὢν ἤδη Πάπας, ἔστελλεν ἀντίγραφα ἐκ ταύτης τῆς ἐπιστολῆς, πρὸς καθησύχασιν τῶν ἐπισκόπων τῆς Δύσεως, ἀγανακτούντων λίαν ἐπὶ τῇ ὑπὸ τῆς ἐν Χαλκηδ. Συν. ἐξενεχθείσης κατὰ τοῦ Θεοδωρήτου ἀποφάσεως. S. Greg. epist. lib. II. ep. 51. Patrolog. Tom. LXXVII. p. 594. Σ. Μ.

[*] Ὁ ἅγιος Δημήτριος ὁ Ροστοβίας λέγει περὶ τοῦ μακαρίου τούτου Πατρός: «Ἡμεῖς δὲ μετὰ τῶν ἁγίων Πατέρων Γρηγορίου τοῦ Νύσσης, Θεο-

§. 219. Ἐν τοῖς συγγράμμασίν ἐστι : α΄) ἑρμηνευτὴς τῆς Γραφῆς· β΄) ἱστορικός.

Ὁ Θεοδώρητος δείκνυται ἐν τοῖς συγγράμμασιν αὐτοῦ ἑρμη-

δωρήτου, καὶ ἄλλων λέγομεν. . . » (Τ. 2. σελ. 597.) ὁ Π. Φώτιος καλεῖ αὐτὸν μακάριον (Ἀναγν. σογ΄), ὁ ἅγιος Νικηφόρος σοφώτατον διδάσκαλον (Χρον. Α΄ 1.), Θεόδωρος ὁ ἀναγνώστης ἄνδρα μακαρίας μνήμης. [« Θαυμαζέτω δέ, λέγει ὁ ἀείμνηστος Εὐγένιος, μηδείς, εἰμὴ τὸν ἄνδρα ἐν τῷ χορῷ τῶν ἄλλων ἁγίων ὁρᾷ ἐναρίθμιον· ὅσον γὰρ τῷ τε ὑπὲρ τῆς εὐσεβείας διαπύρῳ ζήλῳ, καὶ τοῖς ὑπὲρ αὐτῆς τῆς πίστεως ἄθλοις ἀνήκει, τῷ τε ἀκριβεῖ τοῦ πολιτεύματος καὶ ἀμέμπτῳ, καὶ δὴ καὶ τῷ τῆς ἄλλης ἀρετῆς πλούτῳ, δι' ὧν ἡ κατὰ ἄνθρωπον ἁγιότης χαρακτηρίζεται, χαλεπόν, οἶμαί, τινος ὁτουοῦν τῶν πώποτε διαλαμψάντων ἐν τῇ Ἐκκλησίᾳ Πατέρων, εὑρεῖν τῇ παραθέσει τὸν μακάριον τοῦτον ὑπελαττούμενον· ἀλλ' ἡ περὶ τῶν τοῦ θείου Κυρίλλου δογματικῶν Κεφαλαίων, μεταξὺ πολλῶν ἑκατέρωθεν διδασκάλων συστᾶσα κατ' ἐκεῖνο ἔρις καὶ διαμάχη. . . Ὅτι δὲ τῷ τῶν Πατέρων, καὶ τῶν τῆς Ἐκκλησίας διδασκάλων χορῷ, πάντες ἑξῆς τὸν Θεοδώρητον σὺν εὐφημίαις ταῖς προσηκούσαις, καὶ τοῖς δικαιοτάτοις ἐπαίνοις τάττουσιν ἐναρίθμιον, πάρεστιν ἰδεῖν ἐξ ὧν περὶ αὐτοῦ γράφουσιν, οἷς μνείαν τοῦ ἀνδρὸς ποιῆσαί ποτε ἐγένετο . . . » (β. τοῦ μακ. Θεοδωρ. σελ. 55-57. Βλ. καὶ Οἰκον. περὶ τῶν Ο΄ ἑρμ. τῆς Π. θ. Γ. βιβλ. Δ΄ κεφ. ε΄ σελ. 655-656). Ὁ σοφώτατος Cave εἰπὼν περὶ τῆς ἐξενεχθείσης ἐν τῇ Ε΄ Οἰκ. Συν. κατὰ τοῦ θείου Θεοδωρήτου καταδίκης, ἐπάγει τάδε: « Meliori quidem fato, ac molliori censura dignus erat Theodoretus. Summam animi puritatem, et arctioris vitæ disciplinam quam a pueritia sub optimis veræ et primevæ ἀσκήσεως magistris didicerat, per totum vitæ curriculum integram atque illibatam tenuit; ingenti in Deum zelo, in Ecclesiam Catholicam studio flagavit, in Pauperibus levandis pene supra modum benignus et liberalis; bona quæ a parentibus acceperat amplissima in eorum usum divendita elargitus. . . Animo erat ex celso, elatoque, sententiæ, quam semel imbiberat, tenacissimus . . . . Si quos in errores lapsus sit, non tam voluntati et pravo judicio, quam prece fervidæ indoli, disputationum intemperiis, et ἀμετρίᾳ τῆς ἀνθολκῆς tribuendi sunt. Nobile a natura nactus est ingenium; quod pari cura et studio excoluit: omnifaria eruditione clarus, et extra controversiam sui saeculi longe doctissimus . . . . » (Script. Eccles. Histor. Literariæ Vol. I. p. 406). Σ. Μ.

νευτὴς τῆς Γραφῆς, ἱστορικός, δογματιστὴς ἅμα καὶ ἀγωνιστικός(1).

Ὁ μακάριος οὗτος Πατὴρ τάσσεται ἐν τοῖς ἀρίστοις τῶν ἑρμηνευτῶν τῆς Γραφῆς. Πλεῖστον ὅσον ἠσχολήθη περὶ τὴν ἐξήγησιν αὐτῆς, καὶ ἐκέκτητο ἅπαντα τὰ προτερήματα τοῦ ἑρμηνευτοῦ [τ].

Τρόπος τῆς ἑρμηνείας αὐτοῦ ὁ ἑξῆς:

α΄] Οὐ δῆλον, ὅτι ἦν ἀποχρώντως εἰδήμων τῆς ἑβραϊκῆς γλώσσης, ἀλλ᾽ ἔσθ᾽ ὅτε προσεῖχε τοῖς ἰδιώμασιν αὐτῆς(2)· κατ᾽ ἐξοχὴν δὲ διηρεύνα τὴν σημασίαν τοῦ κειμένου ἐν τῇ ἑλληνικῇ μεταφράσει καὶ ἐν τῇ συριακῇ.

β΄] Αἱ ἑρμηνεῖαι αὐτοῦ εἰσιν ὡς τὰ πολλὰ παραφραστικαὶ καὶ ἡ τῶν λέξεων ἔννοια ἐκτίθεται βραχέως μέν, ἀλλὰ πάνυ σαφῶς καὶ ζωηρῶς.

γ΄] Φιλολογικαὶ καὶ ἱστορικαὶ σημειώσεις σπανίως ἀπαντῶσι ἐν ταῖς ἑρμηνείαις αὐτοῦ. Ὁ Θεοδώρητος ἐσπούδαζεν, ὡς λέγει, ἀποφεύγειν τρεῖς ἐλλείψεις, τὸ πρὸς τὰς ἀλληγορίας δηλονότι πάθος, τὸ πειρᾶσθαι ἑρμηνεύειν ἅπαντα ἐκ τῆς ἰουδαϊκῆς ἱστορίας, καὶ τέλος τὸ περιττὸν τοῦ λόγου μῆκος(3). Ταῦτα δ᾽ ἐξεπλήρωσεν ὡς ἄριστα.

δ΄] Ἐν τῇ Ὀκτατεύχῳ, ἐν τοῖς βιβλίοις τῶν Βασιλειῶν καὶ τῶν Παραλειπομένων ἑρμηνεύει μόνον τὰ δύσκολα χωρία· εἰς δὲ τοὺς Ψαλμούς, εἰς τὸ Ἆσμα τῶν ᾀσμάτων, εἰς ἅπαντας τοὺς Προφήτας καὶ εἰς τὰς ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου ἔγραψε συνεχεῖς ἑρμηνείας [*].

(1) Τὰ συγγράμματα αὐτοῦ ἐξεδ. α΄] ὑπὸ Σιρμόνδου καὶ Γαρνιήρου (Op. gr-lat. Paris. 1642-1648)· β΄] ὑπὸ Εὐγενίου τοῦ Βουλγάρεως (Τοῦ μ. Θεοδωρ. ἐπισκ. Κύρου τὰ Σωζόμενα, ἐν Χάλῃ 1768-1775), γ΄] ὑπὸ Schelze καὶ Noesselt (Op. gr-lat. Halæ. 1769-74).

[τ] Ὁ Βοσουέτος καλεῖ αὐτὸν «le plus savant interprète qui soit parmi les Pères grecs» (extraits des procès-verbaux du clergé, Oeuvr. ed. Lebel, T. VII, p. 335)· ὁ δὲ Richard Simon λέγει: «L' est celui de tous les Pères grecs auquel on doit le plus s' attacher, si l' on veut se rendre savant dans la Bible.» Σ. Μ.

(2) Βλ. ἑρμ. εἰς τὴν Γέν. κεφ. ά. Τ. 1. σελ. 10. εἰς Ψαλ. λ΄ 1. μ΄ 2.

(3) Προθεωρ. ἑρμ. εἰς τοὺς Ψαλμ.

[*] Ἐκτὸς τῆς εἰς τοὺς Ψαλ-

ε´] Ὁ Θεοδώρητος ἐχρῆτο μὲν τοῖς πόνοις τῶν πρὸ αὐτοῦ ἀκμασάντων Διδασκάλων καὶ κατ᾽ ἐξοχὴν τοῖς τοῦ Χρυσοστόμου, ἐκλέγων πᾶν τὸ ἐν αὐτοῖς ἄριστον, ἀλλ᾽ ὑπ᾽ οὐδεμιᾶς αὐθεντίας οὐδέποτε παρεσύρετο (1).

Ἅπασαι αἱ ἑρμηνεῖαι αὐτοῦ εἰσι πλείστου ἄξιαι, κατ᾽ ἐξοχὴν δὲ ἡ εἰς τὰς ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου (2). Περὶ τῆς εἰς τὸ βιβλίον τοῦ Προφήτου Δανιὴλ ἑρμηνείας αὐτοῦ ἀποφαίνεται ὁ Φώτιος ὧδε: «Μακρῷ μὲν οὗτος, φησὶν ὁ σοφὸς ἀνήρ, οὐχ Ἱππολύτου μόνον (περὶ τούτου γὰρ ἦν ὁ λόγος τῷ Φωτίῳ ἐν τῷ ἀμέσως ἀνωτέρῳ ἀναγνώσματι), ἀλλὰ καὶ πολλῶν ἄλλων τῇ τῶν προφητικῶν ῥημάτων ἀναπτύξει τε καὶ διακαθάρσει κρατεῖ. Ἔστι δὲ τὴν φράσιν, εἴ τις ἄλλος, ἑρμηνείαις πρέπων· τῷ τε καθαρῷ καὶ εὐσήμῳ τῶν ῥημάτων ἀνακαλύπτων τὰ συνεσκιασμένα, καὶ τῷ ἡδύνοντι, ἅτε δὴ διαγλυκαίνων, προθυμοτέρους πρὸς τὴν ἀνάγνωσιν παρασκευάζων, καὶ δὴ καὶ τῷ πρὸς μηδεμίαν ἐκτροπὴν καὶ παρέκβασιν ἀποφέρεσθαι τοῦ προκειμένου κόρον τε ἀφαιρούμενος πάντα, καὶ τὴν μάθησιν τῶν ζητουμένων ἀσύγχυτόν τε καὶ ἀδιασκέδαστον καὶ εὐχερῆ τοῖς ἀναλεγομένοις αὐτοῦ τὸν πόνον ἐμποιῶν. Καὶ ἡ λέξις δὲ αὐτῷ καὶ ἡ συνθήκη τῆς ἀττικῆς εὐγενείας οὐ φεύγει τὰς γονάς, πλὴν εἴ τι περιεργότερον αὐτῆς ἐστι, καὶ τῆς, ὡς φάναι, πολλῶν ἀκοῆς ἀνακεχωρηκός, τοῦτο δέ, ὅτι μηδὲ προσῆκον ἑρμηνείᾳ, ἀποκλίνει. Καὶ

μοὺς μακρᾶς ἑρμηνείας ἐξέδωκεν ὁ Γαρνιῆρος ἐκλογὰς ἐκ τῶν ἑρμ. τοῦ Θεοδωρ. εἰς τοὺς Ψαλμούς. Ἀλλ᾽ εἰς τὰς ἐκλογὰς ταύτας, γνωστὰς οὔσας καὶ ἐκ τῆς ἀρχαίας σλαβικῆς μεταφρ. εἰσήχθησαν πολλά, ἃ οὐκ ἔγραψεν ὁ Θεοδώρητος.

(1) Βλ. ἑρμην. εἰς τὰς ἐπιστ. τοῦ Παύλου σελ. 3. ed. Schulzii.

(2) Βλ. Richter de Theodereto Epistolarum Paulinarum interprete, Lipsiæ 1828. Glossarium Theodoretianum ad usum exeget. et crit. ed. a L. Bauero, Halæ, 1775. [Περὶ τῆς ἑρμηνείας ταύτης λέγει ὁ Fessler: «integra et continua brevissime in se complectitur, quidquid eleganter et apposite ad literalem horum librorum sensum explicandum dici potuit, brevi pariter introductione (argumento) singulis Pauli epistolis praemissa, ut revera commentarius iste reliquos omnes Theodoreti superare videatur». Instit. Patrol. T. II. p. 695. Σ. Μ.].

ὅλως εἰς τὸ ἄριστόν ἐστι τῶν ἐξηγητῶν, καὶ οὐκ ἔχον ῥᾳδίως τὸν ἄμεινον διασαφοῦντα ἀνηγμένος. Ἔστι μὲν γὰρ καὶ ἄλλοις τὸ καθαρῶς εἰπεῖν καὶ ἀνιχνεῦσαι τὸν νοῦν τῶν θεωρουμένων· τὸ δὲ ἅμα τε σαφῶς εἰπεῖν καὶ μηδὲν τῶν ἀναγκαίων ἐν τῷ συντόμως παραλιπεῖν, μηδὲ πρὸς ἐκδρομὰς ἢ ἐπιδεικτικὰς σοφίας· ἢ ἄλλως μὲν οὐκ ἀχρήστους, παρασυρούσας δὲ τοῦ προκειμένου, μὴ ἀπιδεῖν, εἴ τινι ἄλλῳ, καὶ τῷ χρηστῷ Θεοδωρήτῳ ἔνεστι διεσπουδασμένον, οὐκ ἐν ταύτῃ μόνῃ τῇ πραγματείᾳ, ἀλλά γε μικροῦ δέω φάναι καὶ ἐν πάσαις, (πολλαὶ δ' αὗται,) ἐν αἷς τῶν ἱερῶν γραμμάτων αὐτῷ ἡ διασάφησις φιλοπονεῖται» (Ἀνάγν. σγ' σελ. 526) [τ]. Τῶν εἰς τὴν Παλαιὰν Διαθήκην ἑρμηνειῶν ἀρίστη ἐστιν ἡ εἰς τοὺς Ψαλμούς. Μετὰ προσοχῆς ἑρμηνεύει ὁ Πατὴρ τὴν κατὰ γράμμα ἔννοιαν, μὴ ἀφιστάμενος τῆς ἀλληγορίας, καὶ μετ' ἀκριβείας διασημαίνεται τὰ προφητικὰ χωρία [υ].

[τ] Τὴν αὐτὴν ψῆφον ἐπιφέρει ὁ μέγας Φώτιος καὶ τὴν εἰς τοὺς δώδεκα Προφήτας ἑρμηνείαν διεξελθών, ἐν τῇ αὐτῇ τῶν λόγων καλλονῇ καὶ τῆς διανοίας διεσκευασμένον ἐπιμαρτυρῶν τὸ βιβλίον (Ἀναγν. σε'). Καὶ περὶ τῶν εἰς τὴν Ὀκτάτευχον, καὶ τὰς Βασιλείας, καὶ τὰ Παραλειπόμενα τὸ δοκοῦν ἀποφαινόμενος (ἐν Ἀναγν. σδ') τῆς συνήθους αὐτῷ (φησὶν) ἰδέας διαπρεπούσης, ἔχει τι, πρὸς τῷ σαφέστερον ὁρᾶν καὶ εὐκατάληπτον, καὶ ἕτερον πλεονέκτημα, καὶ τὸ ὡς ἐν κεφαλαίῳ κατὰ τὸ ἀπορούμενον καὶ ἐπιλυόμενον, τὸ βιβλίον διατετυπῶσθαι. Σ. Μ.

[υ] Θεόδωρος ὁ Μοψουεστίας διϊσχυρίζετο, ὅτι ἐν τρισὶ μόνον ψαλμοῖς ἀπαντῶσι προφητεῖαι περὶ τοῦ Ἰησοῦ Χριστοῦ (Λ. ὁ Βυζάντιος κατὰ Εὐτ. καὶ Νεστορ. βιβλ. Γ' Angeli Maii Spicil. Roman. T. X. p. 73). Ὁ ἱερὸς Θεοδώρητος, τὴν δοξασίαν ταύτην ἀπορρίπτων, ἐκτίθησι τοὺς λόγους, δι' οὓς ὁ Θεόδωρος ἐδίδω τοιαύτην σημασίαν τοῖς πρὸς τὸν Μεσσίαν ἀναφερομένοις ψαλμοῖς, καὶ ἀνασκευάζει αὐτούς. Οὕτω π. χ. ὁ Θεόδωρος οὐκ ἠβούλετο ἀνενεγκεῖν πρὸς τὸν Μεσσίαν τὸν κα' ψαλμὸν μεταξὺ ἄλλων, διότι ἐνταῦθα ὁ Πάσχων λέγει: μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου (στίχ. 2). Ὁ Θεοδώρητος εἰπών, ὅτι οὐδεὶς τῶν ἄλλων ἑρμηνευτῶν ἐμνημόνευσε τῶν παραπτωμάτων· ἀλλ' ὁ μὲν Ἀκύλας, βρυχήματός μου, ὁ δὲ Σύμμαχος, ὀδυρμῶν μου, ὁ δὲ

Τὰ ἱστορικὰ συγγράμματα, οἷς μέγα ἐκτήσατο κλέος, εἰσὶ τάδε:

α΄] Ἐκκλησιαστικῆς ἱστορίας λόγοι ε΄, οὓς φαίνεται συνταξάμενος τῷ 450. Ἐν τοῖς πέντε τούτοις λόγοις ἀναγράφει τὰ

Θεοδοτίων, βοήσεώς μου, ἐπιφέρει «ἵνα δὲ μὴ δόξωμεν τοῖς ἄλλοις ἑρμηνευταῖς ἐνταῦθα κεχρημένοι· ἐκ περιονοίας τοὺς ἑτέρους τὸν ψαλμὸν ἡρμηνευκότας ἐλέγχειν, τῇ τῶν Ο΄ ἑρμηνείᾳ χρησόμεθα. Ταύτῃ γὰρ κἀκεῖνοι τῇ ῥήσει προσεσχηκότες, οὐκ ἔφασαν ἁρμόττειν τὸν ψαλμὸν τῷ Χριστῷ. Πῶς γάρ φησιν οἷόν τε ἦν τὸν οὐχ ἡμαρτηκότα λέγειν, μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου; Ἀκουσάτωσαν τοίνυν Ἰωάννου τοῦ πάνυ βοῶντος· ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· τοῦ δὲ θεσπεσίου Παύλου λέγοντος, τὸν μὴ γνόντα ἁμαρτίαν ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη ἐν αὐτῷ. Καὶ πάλιν· Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Τοιγαροῦν ὥσπερ δικαιοσύνης ὑπάρχων πηγή, τὴν ἡμετέραν ἁμαρτίαν ἀνέλαβε, καὶ εὐλογίας ὢν πέλαγος, τὴν ἐπικειμένην ἡμῖν ἐδέξατο κατάραν, καὶ σταυρὸν ὑπέμεινεν αἰσχύνης καταφρονήσας, οὕτω καὶ τοὺς ὑπὲρ ἡμῶν ἐποιήσατο λόγους». Καὶ ἐν τῇ ἑρμηνείᾳ τῶν Προφητῶν ὁ μακάριος Θεοδώρητος οὐδαμῶς ἀκολουθεῖ τῷ Μοψουεστίας Θεοδώρῳ. Παλλάκις δὲ καὶ τὴν τῆς Γραφῆς ἑρμηνείαν τοῦ Θεοδώρου κατακρίνει ὁ Θεοδώρητος ἐν ταῖς ἐξηγήσεσιν αὐτοῦ. Π. χ. ἑρμηνεύων τοὺς λόγους τοῦ Προφήτου Μιχαίου Δ΄ 1—3 περὶ τῆς ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν ἐμφανείας τοῦ ὄρους Κυρίου, ἐφ᾽ ὃ σπεύσουσι πάντες οἱ λαοί, περὶ τοῦ νέου νόμου, τοῦ ἐκ Σιὼν διαδοθησομένου ἅπασι τοῖς ἔθνεσι, σημειοῖ: «Οὗτος ὁ εὐαγγελικὸς νόμος, καὶ ἀποστολικὸς λόγος, ἀπὸ τῆς Ἱερουσαλήμ, οἷον ἀπό τινος πηγῆς ἀρξάμενος, πᾶσαν τὴν οἰκουμένην διέδραμε, τοῖς μετὰ πίστεως προσιοῦσι τὴν ἄρδειαν προσφέρων. Ἔστι δὲ ἰδεῖν καὶ τοὺς θείους οἴκους ἐν μέσῳ καὶ πόλεων, καὶ κωμῶν, καὶ ἀγρῶν, καὶ ἐσχατιῶν διακειμένους, καὶ μεγέθει, καὶ κάλλει διαπρέποντας, ὡς καὶ αὐτῶν τῶν ὑψηλοτάτων ὀρῶν ἐπισημοτέρους εἶναι καὶ ἐπιφανεστέρους... Ἰουδαῖοι δὲ ταῦτα νοεῖν οὐκ ἐθέλουσιν οὕτως, ἀλλά τῆς ἐκ Βαβυλῶνος ἐπανόδου πρόρρησιν ταῦτα εἶναι φασί. Καὶ τοὺς μὲν ἐκείνους ἠλιθίους ὄντας οὕτω νοεῖν, θαυμαστὸν οὐδέν· συμβαίνει γὰρ αὐτῶν ταῖς ἄλλαις παρανοίαις καὶ ὁ περὶ τήνδε τὴν προφητείαν πλάνος· τὸ δὲ καί τινας τῶν

ἀπὸ τοῦ 325 ἄχρι τοῦ 429 κατὰ τὴν Ἐκκλησίαν γενόμενα (¹). Τὸ

τῆς εὐσεβείας διδασκάλων τὴν αὐτὴν ἑρμηνείαν ἐνθεῖναι τοῖς οἰκείοις συγγράμμασιν, οὐκ ἀνεκτόν, οὐδὲ συγγνώμης ἄξιον εἶναί μοι δοκεῖ. Ποῖα γὰρ ἔθνη καὶ πελάζοντα, καὶ πόρρωθεν ἀπῳκισμένα, μετὰ τὴν ἐπάνοδον συνέδραμον εἰς τὸν Ἰουδαίων, τὸν ἐκείνων ἀσπασάμενα νόμον, καὶ τὸν ἐκεῖθεν ἐκπορευόμενον ἀγαπήσαντα λόγον; » Ἡ ὑπὸ τοῦ ἱεροῦ Θεοδωρήτου ἀνασκευαζομένη ἑρμηνεία τῶν λόγων τοῦ Προφήτου ἀνήκει εἰς τὸν Μοψουεστίας Θεόδωρον (Theodor. Antioch. comment in prophetas minores, ed. Victor. a Wegnern. p. 343). Ὁ θεῖος Πατὴρ ἐφρόνει περὶ ἑαυτοῦ τε καὶ τῶν ἑρμηνειῶν αὐτοῦ πάνυ ταπεινῶς. Ἐν τῇ ἀρχῇ τῆς ἑαυτοῦ ἑρμηνείας εἰς τοὺς ἐλάσσονας Προφήτας γράφει: «Ἴσως μέν τινες περιττόν τι ποιεῖν καὶ παρέλκον νομιοῦσιν ἡμᾶς τῆς προφητικῆς ἑρμηνείας κατατολμῶντας, ἅτε δὴ καὶ ἄλλων τινῶν τοῦτο διηνυκότων τὸν πόνον· ἀλλ' εἰσὶν οἱ τὰ θεῖα περὶ πολλοῦ ποιούμενοι, καὶ τὴν ἱερὰν ἀκριβῶς πεπαιδευμένοι Γραφήν, οἳ οὐ μόνον ἡμῖν οὐ νεμεσήσουσιν, οὐδὲ τοῖς φιλαιτίοις ἐκείνοις παραπλησίως ἐπιμέμψονται, ἀλλὰ καὶ ἀποδέξονται, ὡς εἰκός, καὶ ἐπαινέσονται, κἂν μή τι γενναῖον ἐν τοῖς συγγράμμασιν εὕρωσιν· ἀπόχρη γὰρ παρὰ τοῖς δικαίοις κριταῖς· καὶ μόνη ἡ προθυμία δρέψασθαι τὴν εὐθυμίαν· οὕτω γὰρ καὶ ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, ἐν τοῖς μὲν ἱεροῖς Εὐαγγελίοις ἀντ' ὀβολῶν δύο τὴν χήραν ἐκείνην ἐταινίωσεν ἐγκωμίοις, τῇ ποιότητι τῆς γνώμης, οὐ τῇ τοῦ δώρου ποσότητι τὸν ἔπαινον ψηφισάμενος· ἐν δὲ τῷ νόμῳ, τοῖς εὐπόροις παρεγγυήσας, χρυσὸν καὶ ἄργυρον καὶ λίθους τιμίους εἰς τὴν κατασκευὴν προσενεγκεῖν τῆς σκηνῆς, οὐδὲ τοὺς πενίᾳ συζῶντας τῆς ἐντεῦθεν ἐστέρησεν εὐλογίας· ἀλλὰ προσέταξε τοὺς μὲν δέρματα, τοὺς δὲ τρίχας προσφέρειν· αἱ δὲ καὶ τούτων σπανίζουσαι, τὴν ἰσχὺν καὶ τὴν τέχνην ἀντὶ τούτων προσέφερον, νήθουσαι τὰς τρίχας, καὶ ἐξυφαίνουσαι . . . Οὐδὲν οὖν ἀπεικὸς τοῖς ὀρθῇ ψήφῳ καὶ δικαίᾳ κεχρημένοις ποιήσειν δόξομεν, εἰ καθάπερ τινὰς τρίχας τὰς τῆς ἡμετέρας διανοίας ὠδῖνας εἰς τὴν τῆς νέας σκηνῆς κατασκευὴν προσενέγκαιμεν, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος. Εἰ δὲ καὶ τοῖς ἑτέρων ἐνθυμήμασί τις ἀκολουθεῖν ἡμᾶς φήσειε, καὶ οὕτως εὑρήσει τὸν δυνατὸν ἡμῖν ἔρανον συνεισφέροντας. Ὁμοίως γὰρ ἐκείναις, αἱ τὰς ὑπ' ἄλλων προσενεχθείσας ἔνησαν καὶ ἐξύφαναν τρίχας καὶ τὰς τῆς σκηνῆς κατεσκεύασαν δέρρεις, καὶ ἡμεῖς ἔνθεν κἀκεῖθεν τὰ καλῶς εἰρημένα συλλέξαντες, ἓν ἐκ πάντων ἐξυφανοῦμεν σὺν Θεῷ σύγγραμμα τῶν δυοκαίδεκα Προφητῶν δήλην ποιοῦντες τοῖς ἐντυγχάνουσι τὴν διάνοιαν . . . » Σ. Μ.

(¹) Ἐν τῷ τέλει τῆς ἱστορίας γρά-

τέλος τῆς ἱστορίας τοῦ Εὐσεβίου ἐποιήσατο ἀρχὴν τῆς ἑαυτοῦ ἱστορίας. Ὁ Σωκράτης καὶ ὁ Σωζόμενος ἔγραψαν πρὸ τοῦ Θεοδωρήτου συνέχειαν τῆς ἱστορίας τοῦ Εὐσεβίου. Ἰδὼν δ᾽ ὁ Θεοδώρητος, ὅτι πολλὰ μὲν ἀξιομνημόνευτα παρελείφθησαν ὑπ᾽ αὐτῶν, οὐκ ὀλίγα δ᾽ ἐξετέθησαν πάνυ βραχέως, ἔγνω ἀναπληρῶσαι τὰ ἐλλείποντα. «Τούτου δὴ χάριν, λέγει, κἀγὼ τῆς ἐκκλησιαστικῆς ἱστορίας τὰ λειπόμενα συγγράψαι πειράσομαι. Οὐ γὰρ ὅσιον ᾠήθην λαμπροτάτων ἔργων καὶ ὀνησιφόρων διηγημάτων τὸ κλέος παριδεῖν ὑπὸ τῆς λήθης συλώμενον. Διὰ γὰρ δὴ τοῦτο καὶ τῶν συνήθων τινὲς ἐπὶ τόνδέ με τὸν πόνον πολλάκις παρώτρυναν. Ἐγὼ δὲ τῇ μὲν ἐμαυτοῦ δυνάμει τόδε τὸ ἔργον σταθμώμενος, τὴν ἐγχείρησιν ὀρρωδῶ. Θαρρῶν δὲ τῷ φιλοτίμῳ Δοτῆρι τῶν ἀγαθῶν, μείζοσιν, ἢ κατ᾽ ἐμαυτὸν ἐγχειρῶ . . .» (ἐν Προλ.). «Τῶν ἀνοσιουργῶν ἐκείνων καὶ δυσσεβῶν καταλυθέντων τυράννων Μαξεντίου, φημί, καὶ Μαξιμίνου καὶ Λικινίου, κατηυνάσθη τῆς Ἐκκλησίας ἡ ζάλη, ἣν οἱ ἀλάστορες ἐκεῖνοι, καθάπερ τινὲς καταιγίδες, ἐκίνησαν, καὶ γαλήνης λοιπὸν ἀπήλαυε καθαρᾶς, τῶν στροβίλων παυσαμένων ἀνέμων. Καὶ Κωνσταντῖνος δὲ ὁ πανεύφημος Βασιλεύς, ὃς οὐκ ἀπ᾽ ἀνθρώπων, οὐδὲ δι᾽ ἀνθρώπου, ἀλλ᾽ οὐρανόθεν, κατὰ τὸν θεῖον Ἀπόστολον, τῆς κλήσεως ταύτης ἔτυχε, ταύτην αὐτῇ ἐπρυτάνευε. Νόμους γὰρ ἔγραψε, θύειν μὲν εἰδώλοις ἀπείργων, δομᾶσθαι δὲ τὰς Ἐκκλησίας παρεγγυῶν. Καὶ ἄρχοντας μὲν πίστει κοσμουμένους ἐφίστη τοῖς ἔθνεσι, γεραίρειν κελεύων τοὺς ἱερέας, καὶ τοῖς παροινεῖν εἰς τούτους ἐπιχειροῦσιν ὄλεθρον ἀπειλῶν . . .» Ἀλλ᾽ ἡ εἰρήνη τῆς Ἐκκλησίας ταχέως διεταράχθη ὑπὸ νέας πλάνης. «Ὁ παμπόνηρος καὶ βάσκανος δαίμων, ὁ τῶν ἀνθρώπων ἀλάστωρ οὐκ ἤνεγκεν ἐξ οὐρίων φερομένην τὴν Ἐκκλησίαν ὁρῶν· ἀλλὰ τὰς κακομηχάνους ἐκίνει βουλάς, καταλῦσαι φιλονεικῶν τὴν ὑπὸ τοῦ Ποιητοῦ καὶ Δεσπότου τῶν ὅλων κυβερνωμένην . . . ἀλλ᾽ ἄνδρας εὑρών, τῆς μὲν χριστιανικῆς προσηγορίας

φει: «Ἐγὼ δὲ τῆς συγγραφῆς ἐνταῦθα παυσάμενος, τοὺς ἐντευξομένους ἀντιβολῶ προσευχαῖς τὸν πόνον ἀμείψασθαι. Πέντε μέντοι καὶ ἑκατὸν ἐτῶν ἤδε ἡ ἱστορία περιέχει χρόνον, ἀρξαμένη μὲν ἀπὸ τῆς Ἀρείου λύττης, δεξαμένη δὲ πέρας τῶν ἀξιεπαίνων ἀνδρῶν Θεοδώρου καὶ Θεοδότου τὴν τελευτήν».

ἠξιωμένους, φιλοτιμίᾳ δὲ καὶ κενῇ δόξῃ δεδουλωμένους, ὄργανα τούτους τῶν οἰκείων ἀπέφηνε τεχνασμάτων· καὶ διὰ τούτων πολλοὺς εἰς τὴν προτέραν ἐπανήγαγε πλάνην, οὐ τὴν κτίσιν πάλιν προσκυνεῖσθαι παρασκευάσας, ἀλλὰ τὸν Ποιητὴν καὶ Δημιουργὸν συνταχθῆναι τῇ κτίσει κατασκευάσας . . . »(α΄ 1.). Τὰ πρῶτα ζιζάνια ἔσπειρεν ὁ παμπόνηρος ἐν τῇ πόλει τῆς Ἀλεξανδρείας διὰ τοῦ πρεσβυτέρου τῆς ἐκεῖ Ἐκκλησίας «Ἀρείου, τὴν τῶν θείων Γραφῶν πεπιστευμένου ἐξήγησιν». Οὕτως ἄρχεται τοῦ πρώτου λόγου τῆς ἑαυτοῦ ἱστορίας ὁ μακάριος Θεοδώρητος. Περαιτέρω περιγράφει καθ' ἓν ἕκαστον τὴν ἱστορίαν τοῦ Ἀρείου καὶ τὴν πρώτην Οἰκουμενικὴν Σύνοδον· ἀφηγεῖται τὴν εὕρεσιν τοῦ Σταυροῦ τοῦ Κυρίου ὑπὸ τῆς εὐσεβοῦς Ἑλένης, καί, στρεφόμενος πρὸς τὸν ἀρειανισμόν, ἐξιστορεῖ τὰς ἐπιβουλὰς τοῦ προμάχου αὐτοῦ Εὐσεβίου τοῦ Νικομηδείας καὶ τοὺς κατὰ τοῦ ἁγίου Ἀθανασίου διωγμούς· τέλος δ' ὁμιλήσας περὶ τῆς ἐξαπλώσεως τῆς χριστιανικῆς πίστεως ἐν Αἰθιοπίᾳ καὶ Γεωργίᾳ, περαίνει τὸν πρῶτον λόγον τῇ τελευτῇ Κωνσταντίνου τοῦ Μεγάλου. Ἐν δὲ τῷ δευτέρῳ λόγῳ πραγματεύεται περὶ τῶν ἐν τῇ Ἐκκλησίᾳ ταραχῶν ἐπὶ τοῦ Αὐτοκράτορος Κωνσταντίου, ὃν παραβάλλει πρὸς ἀσθενῆ κάλαμον τῇ δε κἀκεῖσε ὑπ' ἐναντίων ἀνέμων κλινόμενον. Ἐν δὲ τῷ τρίτῳ διαγράφει καθ' ἓν ἕκαστον τὴν ἱστορίαν Ἰουλιανοῦ τοῦ ἀποστάτου. Ἐν τῷ τετάρτῳ ὁμιλεῖ διὰ βραχέων περὶ τοῦ Βελεντινιανοῦ, καὶ διὰ μακρῶν περὶ τοῦ λυσσώδους ὑπερμάχου τοῦ ἀρειανισμοῦ Οὐάλεντος. Ἐν δὲ τῷ πέμπτῳ περιγράφει τὰ ἔνδοξα γεγονότα τὰ δοξάσαντα τὴν βασιλείαν Θεοδοσίου τοῦ Μεγάλου καὶ τὴν τοῦ Ἀρκαδίου. Ὁ Πατριάρχης Φώτιος ἀποφαίνεται περὶ τῆς ἀξίας τῆς τοῦ Θεοδωρήτου ἱστορίας ὧδε: «Πάντων καὶ γὰρ τῶν εἰρημένων (Εὐσεβίου δηλονότι, καὶ Σωκράτους, καὶ Εὐαγρίου τοῦ Σχολαστικοῦ, καὶ Ἑρμείου τοῦ Σωζομένου, περὶ ὧν ὁ λόγος ἦν αὐτῷ ἐν τοῖς ἀνωτέρω ἀναγνώσμασι κζ΄ κη΄ κθ΄ λ΄) κατάλληλον φράσιν ἐν τῇ ἱστορίᾳ μᾶλλον οὗτος ἐπέθηκε. Σαφής τε γὰρ καὶ ὑψηλός, καὶ ἀπέριττος· πλὴν ὅτι ἐνίοτε ταῖς μεταφοραῖς παραβόλως, καὶ ὥσπερ ἀπειροκάλως, ἐχρήσατο» (¹).

(¹) Ἀναγν. λα΄.

β΄] Ἡ φιλόθεος ἱστορία, ἢ ἀσκητικὴ πολιτεία. Ἐν τῷ συγγράμματι τούτῳ συγγράψαι προέθετο τὴν πολιτείαν τριάκοντα συγχρόνων αὐτῷ Σύρων ἀσκητῶν. «Ποίας οὖν, λέγει, ἡμεῖς τύχοιμεν εἰκότως συγγνώμης, μηδὲ γράμμασι τὸν ἀοίδιμον τούτων γεραίροντες βίον; καὶ ταῦτα τῶν ἐν Ὀλυμπιᾶσιν ἀγωνιζομένων ἀθλητῶν τε καὶ παγκρατιαστῶν εἰκόσι τιμωμένων, καὶ μέν τοι κἂν ταῖς ἱπποδρομίαις τῶν νικηφόρων ἀναφαινομένων ἡνιόχων τοῦτο αὐτὸ δεχομένων τὸ γέρας. Οὐ μόνον δὲ τούτους, ἀλλὰ καὶ συγγενεῖς ἄνδρας . . . καί τοι τῆς μνήμης λώβην ταῖς ψυχαῖς οὐκ ὄνησιν ἐμποιούσης· ἀλλ᾽ ὅμως οἱ μὲν τούτων ἐρῶντες τούτους, οἱ δὲ ἐκείνων ἐκείνους, καὶ ταῦτα λυμαίνοντας, τῇ ζωγραφίᾳ γεραίρουσιν . . . . ἡμεῖς δέ, βίον μὲν συγγράφομεν φιλοσοφίας διδάσκαλον, καὶ τὴν ἐν οὐρανοῖς πολιτείαν ἐζηλωκότα· ζωγραφοῦμεν δὲ ἐκ τῶν σωμάτων τοὺς χαρακτῆρας, οὐδὲ τὰ τούτων ἐκτυπώματα τοῖς ἀγνοοῦσιν ἐπιδείκνυμεν· ἀλλὰ τῶν ἀοράτων ψυχῶν τὰς ἰδέας σκιαγραφοῦμεν, καὶ πολέμους ἀθεάτους καὶ συμπλοκὰς ἀφανεῖς ἐπιδείκνυμεν . . .» Προκαταλαμβάνων δὲ τὴν ἀπιστίαν πρὸς τὰς θαυμαστὰς τῶν ἁγίων πράξεις, λέγει περαιτέρω α΄] ὅτι οὐκ ὀρθὸν μετρεῖν τὸ μεγαλεῖον τῶν ἄλλων τῇ ἰδίᾳ ἀσθενείᾳ· β΄] ὅτι ὁ Κύριος εἴωθε μετρεῖν τοῦ ἁγίου Πνεύματος τὰ χαρίσματα ταῖς τῶν εὐσεβῶν γνώμαις, καὶ δίδωσι τὰ μείζω τοῖς τελειοτέροις· γ΄] ὅτι ὁ πιστεύων ὡς ἀληθέσι τοῖς διὰ Μωϋσέως, καὶ Ἰησοῦ, καὶ Ἠλία, καὶ Ἐλισσαίου γεγενημένοις, ὀφείλει πιστεύειν καὶ τοῖς ὑπ᾽ αὐτοῦ ῥηθησομένοις, τῆς αὐτῆς χάριτος ἐνεργούσης ἐν ἐκείνοις τε καὶ τούτοις· δ΄] ὅτι ἐνίων μὲν τῶν φιλοθέων ἀνδρῶν αὐτόπτης ἐγένετο καὶ αὐτός, ἐνίων δὲ τοὺς ἄθλους παρέλαβε παρ᾽ ἀνδρῶν τῆς ἐκείνων θέας τε καὶ διδασκαλίας ἠξιωμένων. Ἐν τῇ Φιλοθέῳ αὐτοῦ ἱστορίᾳ ὁ Θεοδώρητος τάσσει πρόσωπα, ἃ παρίσταντο ὡς πρότυπα ἰδίων τινῶν ἀγώνων. Ἐντεῦθεν ἡ ἱστορία αὐτοῦ, καί περ βραχεῖα οὖσα, διαπρέπει ἐπὶ ποικιλίᾳ. Τὸ σύγγραμμα λαμβάνει πέρας ἐξαιρέτῳ ἑρμηνείᾳ τῆς σημασίας τῆς τοὺς ἀσκητὰς ζωοποιησάσης χριστιανικῆς ἀγάπης. Ἡ Ζ΄ Οἰκουμενικὴ Σύνοδος παρήγαγεν ἐξ αὐτοῦ μαρτυρίαν περὶ τῆς τῶν ἁγίων εἰκόνων τιμῆς [φ].

[φ] Τὸ βιβλίον τοῦτο κρίνεται γεγράφθαι ὑπὸ τοῦ μακαρίου Θεοδω-

γ'] Αἱρετικῆς κακομυθίας ἐπιτομή [ω] ἐν βιβλίοις Ε'. Τὸ σύγγραμμα τοῦτό ἐστι πάνυ ὠφέλιμον παντὶ τῷ ἀσχολουμένῳ περὶ τὴν ἐκμάθησιν τῶν δογμάτων τῆς ὀρθοδόξου πίστεως. Ἐν τῷ πρώτῳ βιβλίῳ ἐξετάζει ὁ ἱερὸς συγγραφεὺς τὰς αἱρέσεις τὰς παραδεχομένας δύω ἀρχάς· ἐν δὲ τῷ δευτέρῳ τὰς αἱρέσεις τὰς ἀποδεχομένας τὸν Ἰησοῦν Χριστὸν ὡς ἁπλοῦν ἄνθρωπον· ἐν τῷ τρίτῳ πραγματεύεται περὶ τῶν σχισμάτων· ἐν τῷ τετάρτῳ δείκνυσι τὰς πλάνας τῶν Ἀρειανῶν, τοῦ Νεστορίου, καὶ τοῦ Εὐτυχοῦς· ἐν τῷ πέμπτῳ ἐκτίθησι τὴν περὶ τῶν δογμάτων τῆς πίσεως διδασκαλίαν ἐν ἀντιθέσει πρὸς τὴν τῶν αἱρετικῶν (¹). Τὸ τελευταῖον τοῦτο βιβλίον

ρήτου κατὰ τὸ 444. Μνείαν δ' αὐτοῦ ποιεῖται ἐν τῇ μετ' αὐτὸ ὑπ' αὐτοῦ συγγραφείσῃ ἐκκλησιαστικῇ ἱστορίᾳ (βιβλ. Δ' κεφ. λδ'), καὶ ἐν ἐπιστ. πβ' Εὐσεβίῳ Ἀγκύρας. Καὶ ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς ἐμνημόνευσεν αὐτοῦ ἐν τῷ περὶ εἰκόνων Γ' βιβλίῳ. Σ. Μ.

[ω] Τὸ σύγγραμμα τοῦτο κατατακτέον ἐν τοῖς πολεμικοῖς μᾶλλον, ἢ ἐν τοῖς ἱστορικοῖς. Σ. Μ.

(¹) Ὁ Γαρνιῆρος, ἐν πολλοῖς ἄδικος ὢν πρὸς τὸν Θεοδώρητον, λέγει, ὅτι τὰ κεφάλ. ιβ' καὶ ιγ' τοῦ Δ' βιβλίου οὐκ ἀνήκουσιν εἰς αὐτόν· διότι ἐν τῷ ιβ' ἐλέγχεται ἀπ' εὐθείας καὶ σφοδρῶς ἡ διδασκαλία τοῦ Νεστορίου. Ἀλλὰ α'] τὴν διδασκαλίαν τούτου τοῦ αἱρεσιάρχου οὐδέποτε ἐπεδοκίμασεν ὁ Θεοδώρητος. Αὐτὴ ἡ πρώτη ἐπιστολή, ἡ ἐξ ὀνόματος Ἰωάννου τοῦ Ἀντιοχείας γραφεῖσα πρὸς τὸν Νεστόριον, ἐδείκνυ, ὅτι ὁ Θεοδώρητος κατέκρινε τὴν διδασκαλίαν ἐκείνου· β'] ἡ τῆς αἱρετικῆς κακομυθίας ἐπιτομὴ ἐγράφη ἓν ἔτος σχεδὸν μετὰ τὴν ἐν Χαλκ. Σύν. γ'] ὁ Ἀββᾶς Θεόδωρος ἐν οἷς τὰ περὶ τῆς ἐν Ἐφέσῳ Συνόδου ἐπιτετμημένῳ ἐξιστορεῖ λόγῳ, λέγει: «Εἰ δὲ βούλεταί τις γνῶναι, ὅτι Θεοδώρητος καὶ λίαν ἐμίσει Νεστόριον, ἀναγνώτω τὸ περὶ τῶν αἱρέσεων αὐτῷ Θεοδωρήτῳ γεγραμμένον βιβλίον». Αὐτὸ τοῦτο λέγει καὶ ὁ Λεόντιος ἐν τῷ περὶ αἱρέσεων συγγράμματι αὐτοῦ. Ὁ Φώτιος (ἀναγν. νς') ἔγραψεν, ὅτι ὁ Θεοδώρητος ἐν τῷ κατὰ αἱρέσεων «κατέρχεται μέχρι Νεστορίου καὶ τῆς αἱρέσεως αὐτοῦ, ἄκρατον αὐτοῦ καταχέων τὸν ἔλεγχον, πρόεισι δὲ καὶ μέχρι τῆς εὐτυχιανῆς αἱρέσεως.» [Μάτην ἄρα καὶ οὐδενὶ σὺν λόγῳ, λέγει ὁ ἀείμνηστος Εὐγένιος, τὸ ὑπὸ τῶν ἀρχαιοτέρων ἐν τοῖς γνησίοις πάλαι ἐγκριθέν, ὑποβολῆς εὐθύναις τῷ νεωτέρῳ Γαρνερίῳ ὑπενήνεκται ὕστερον. Ἀλλ' ὅτι μὲν δὴ τῷ Ἰησουΐτῃ, καί τοι ἄλλως σπουδὴν οὔ τοι γε μεμπτὴν περὶ τὰ Θεοδωρήτου εἰσενεγκόντι, ἔργον τοῦτο πρῶτον, καὶ πύματον, καὶ μέσον φασίν,

ἐστὶν ἐξαίρετον δοκίμιον συστηματικῆς ἐκθέσεως τῶν δογμάτων τῆς πίστεως. Ὁ μακάριος Πατὴρ ἐκτίθησιν ἐκεῖνα μόνον τὰ δόγματα, ὧν ἥπτοντο οἱ αἱρετικοὶ μέχρι τῆς ἐν Ἐφέσῳ συγκροτηθείσης Συνόδου. Ἡ ἀξία ταύτης τῆς ἐκθέσεως συνίσταται ἐν τῇ σαφηνείᾳ καὶ τῇ ἀλληλουχίᾳ τῶν ἐννοιῶν, καὶ ἐν τῇ λαμπρᾷ ἐκλογῇ τῶν χωρίων τῆς ἁγίας Γραφῆς, καταδεικνύσῃ τὸν συγγραφέα τὰ μέγιστα εἰδήμονα τῶν θεοπνεύστων βιβλίων.

δ΄] Πολλαὶ τῶν ἐπιστολῶν τοῦ Θεοδωρήτου (οὖσαι τὸν ἀριθμὸν 180) εἰσὶν ἱστορικαί, διαγράφουσαι τὰ σύγχρονα αὐτῷ γεγονότα, κατ᾽ ἐξοχὴν δὲ τὰς περὶ τῶν δογμάτων τῆς πίστεως ἔριδας(¹).

§. 220. γ΄.) Διδάσκαλος τῆς πίστεως.

3.] Ἐν τοῖς πολεμικοῖς ἅμα καὶ δογματικοῖς συγγράμμασι τοῦ μακαρίου Θεοδωρήτου καταλέγονται:

α΄] Θεραπεία ἑλληνικῶν παθημάτων, ἢ ἄλλως, Εὐαγγελικῆς ἀληθείας ἐξ ἑλληνικῆς φιλοσοφίας ἐπίγνωσις. Τὸ σύγγραμμα τοῦτό ἐστι πλείστου ἄξιον. Ἐν αὐτῷ ὑπερασπίζει ὁ μακάρ. Πατὴρ μετ᾽ ἐξαιρέτου τέχνης καὶ δυνάμεως τὴν

ἐκ παντὸς τρόπου τὸν ἄνδρα Νεστοριανὸν καὶ ἄκοντα ἀναδεῖξαι, ἐν οἷς οὐκ ἀπαθῶς περὶ αὐτοῦ πολλάκις διερραψῴδησεν, ἀκμὴν ἤδη τοῖς καὶ ὁπωσοῦν συνιέναι δυναμένοις φανερόν. Σὺ δέ μοι ὅρα βουληθεὶς περὶ τούτου καὶ Δουπίνιον τὸν Γάλλον ἐν τῷ περὶ τῶν ἐκκλησιαστ. συγγραφ. Τ. Δ΄ σελ. 103-105, καὶ τὸν πολυΐστορα Γερμανὸν Ἰωάννην Ἄλβερτον Φαβρίκιον ἐν τῇ Ἑλλην. Βιβλιοθ. Τεύχει Ζ΄ σελ. 437, ὃς ταὐτὰ καὶ περὶ τῆς τῷ Σποϱακίῳ ἐπιγεγραμμένης ἐπιστολῆς ἀποφαίνεται, ἥτις τῷ ιβ΄ κεφαλ. τοῦ Δ΄ βιβλίου τῶν περὶ αἱρετ. κακομυθ. τὰ πολλὰ συμφθέγγεται». Σ. Μ.].

(¹) Βλ. ἐπ. γ΄-θ΄, ιε΄-ιζ΄, ιθ΄-κά, κε΄. [Κατὰ Νικηφόρον τὸν Κάλλιστον ὁ μ. Θεοδώρητος ἔγραψεν ἐπέκεινα τῶν πεντακοσίων ἐπιστολῶν, ὧν μόλις τὸ τριτημόριον διεσώθη. Περὶ αὐτῶν ἀποφαίνεται ὁ Fessler ὧδε: «Nihil eo in genere scribendi perfectius; nam quæ sunt epistolarum virtutes, brevitas, perspicuitas, elegantia, urbanitas, modestia, observantia, decori, et ingeniosa prudensque ac erudita simplicitas, in epistolis Theodoreti admirabiliter ita elucent, ut scribendibus exemplo esse possint». Institation. Patrolog. T. II. p. 702. Σ. Μ.].

εἰς Χριστὸν πίστιν κατ᾿ ἀνθρώπων ὁμοίων τῷ Ἰουλιανῷ· περιγράφει ζωηρῶς τὰς πλάνας τῆς ἐθνικῆς θρησκείας καὶ φιλοσοφίας, καὶ καταδείκνυσι τὸ ἀνεπαρκὲς παντός, ὅπερ ἐφεῦρεν ὁ ἀνθρώπινος νοῦς πρὸς ἀνάπαυσιν τῆς ψυχῆς. Ἐν τῷ ὀγδόῳ βιβλίῳ ἀποδείκνυσιν, ὅτι ἡ ὑπὸ τῶν χριστιανῶν ἀπονεμομένη τοῖς ἁγίοις τοῦ Θεοῦ τιμὴ οὐδὲν ἔχει κοινὸν πρὸς τὴν τῶν ἐθνικῶν θρησκείαν καὶ διαγράφει τὴν ὑπ᾿ αὐτῶν παρεχομένην τοῖς πιστοῖς βοήθειαν. «Οἱ δέ γε, λέγει, τῶν καλλινίκων μαρτύρων σηκοί, λαμπροὶ καὶ περίβλεπτοι, καὶ μεγέθει διαπρεπεῖς, καὶ παντοδαπῶς πεποικιλμένοι, καὶ κάλλους ἀφέντες μαρμαρυγάς . . . οὐχ ὡς θεοῖς αὐτοῖς προσιόντες, ἀλλ᾿ ὡς θείους ἀνθρώπους ἀντιβολοῦντες καὶ γενέσθαι πρεσβευτὰς ὑπὲρ σφῶν παρακαλοῦντες· ὅτι δὲ τυγχάνουσιν, ὧν περ αἰτοῦσιν οἱ πιστῶς ἐπαγγέλλοντες, ἀναφανδὸν μαρτυρεῖ τὰ τούτων ἀναθήματα, τὴν ἰατρείαν δηλοῦντα. Οἱ μὲν γὰρ ὀφθαλμῶν, οἱ δὲ ποδῶν, ἄλλοι δὲ χειρῶν προσφέρουσιν ἐκτυπώματα· καὶ οἱ μὲν ἐκ χρυσοῦ, οἱ δὲ ἐξ ὕλης ἀργύρου πεποιημένα . . . Ταῦτα δὲ κηρύττει τῶν κειμένων τὴν δύναμιν· ἡ δὲ τούτων δύναμις τὸν τούτων Θεόν, ἀληθινὸν ἀποφαίνει Θεόν . . . καὶ τοῖς παισὶ δὲ τὰς τούτων προσηγορίας ἐπιτιθέναι σπουδάζουσιν, ἀσφάλειαν αὐτοῖς καὶ φυλακὴν ἐντεῦθεν μηχανώμενοι. . . . σώφρονες ἑορτάζονται πανηγύρεις . . . . . . ἀλλ᾿ ὕμνους θείους, καὶ ἱερῶν λογίων ἀκρόασιν, καὶ προσευχὴν ἀξιεπαίνοις κοσμουμένην δακρύοις» (¹).

ϛ΄.] Περὶ Προνοίας λόγοι δέκα. Τὸ σύγγραμμα τοῦτό ἐστιν ἀξιολογώτατον καὶ κατὰ τὴν ἔκθεσιν τῶν ἐννοιῶν καὶ κατὰ τὴν καλλιέπειαν. Ὁ ἱερὸς συγγραφεὺς δείκνυσιν ἐν αὐτῷ, ὅτι ἐστὶ κάτοχος πλείστων φιλοσοφικῶν γνώσεων, ὅτι ἐπίσταται ἐκτιθέναι ἀκριβῶς καὶ ἐπαλλήλως τὰς ἐννοίας, ὅτι ὀρθῶς ἐννοεῖ καὶ ὀρθῶς ἐκτίθησι τὴν διάνοιαν τῶν ῥήσεων τῆς Γραφῆς, καὶ ὅτι δύναται ζωοποιεῖν τὸν λόγον ταῖς τοῦ αἰσθήματος ἐκδηλώσεσι, καὶ τῇ γλαφυρᾷ καὶ καθαρᾷ λέξει [*].

(¹) Αἱ αὐταὶ ἔννοιαι ἐν σελ. 591, 600, 656, 680.

[*] Ὡς μνημεῖα τῆς ῥητορικῆς δεινότητος τοῦ Θεοδωρήτου δύνανται χρησιμεῦσαι ἔτι: α΄] Τὸ ἐγκώμιον εἰς τὴν Γέννησιν τοῦ Προ-

γ΄.] Ὁ Ἐρανιστὴς ἢ Πολύμορφος ἐν βιβλίοις Δ΄. Τὸ σύγγραμμα τοῦτό ἐστι πάνυ ὠφέλιμον διὰ τὴν ἀκριβῆ ἀνασκευὴν τοῦ εὐτυχιανισμοῦ. Ἡ τελευταία ὀνομασία ἐδόθη αὐτῷ, διότι ἐν τῇ ἀνασκευαζομένῃ διδασκαλίᾳ ὁρᾷ ὁ συγγραφεὺς σύγκρασιν τῶν πλανῶν τοῦ Μαρκίωνος, τοῦ Οὐαλεντίνου, τοῦ Ἀπολλιναρίου, καὶ τοῦ Ἀρείου[α]. Ἐν τῷ πρώτῳ τῶν τριῶν διαλόγων[β], ὃς ἐπιγράφεται Ἄτρεπτος, ἀποδείκνυσιν ὁ Πατήρ, ὅτι ἐστὶν ἄτρεπτος ἡ Θεότης τοῦ Μονογενοῦς Υἱοῦ· ἐν τῷ δευτέρῳ, ὃς ἐπιγράφεται Ἀσύγχυτος, ὅτι ὁ Θεὸς Λόγος καὶ μετὰ τὴν ἕνωσιν τῆς θεότητος μετὰ τῆς ἀνθρωπότητος μεμένηκεν οἷος ἦν, ἀκήρατος, ἀπαθής, ἀναλλοίωτος, ἀπερίγραφος. Ἐν τῷ τρίτῳ, ὃς ἐπιγράφεται Ἀπαθής, ὅτι ἡ Θεότης τοῦ Σωτῆρος ἡμῶν γέγονεν ἐλευθέρα τῶν παθῶν(1)[γ].

δρόμου. [Ὁ πολὺς Εὐγένιος ἀμφιβάλλει περὶ τῆς γνησιότητος τούτου τοῦ ἐγκωμίου, καὶ ἡγεῖται πιθανὴν τὴν γνώμην Λέοντος τοῦ Ἀλλατίου, ἀναγραφομένου αὐτὸ Θεοδώρῳ τῷ Δαφνοπάτῃ· Σ. Μ.] β΄) αἱ ἐκλογαὶ ἐκ τῶν λόγων εἰς τὸν ἐν ἁγίοις Ἰωάννην τὸν Χρυσόστομον, ἃς ἀπέσωσεν ἡμῖν ὁ Φώτιος ἐν τῇ Βιβλιοθ. ἀναγν. σογ΄. Auct. p. 30.

[α] « Ἐπιγέγραπται δέ, λέγει ὁ πολὺς Εὐγένιος, τὸ ὅλον σύγγραμμα Ἐρανιστής, ἢ Πολύμορφος ὡς ἐκ ποικίλων καὶ πολυσχιδῶν αἱρέσεων, ἐπ᾽ ἐλέγχῳ τῆς πολυειδοῦς κακοδοξίας συνερανισθέν ». (β. τοῦ μακ. Θεοδωρ. σ. 66.) Σ. Μ.

[β] Τὸ σύγγραμμα τοῦτο συνίσταται ἐκ τεσσάρων βιβλίων, ὧν τὰ μὲν τρία πρῶτα διατετύπωται ἐν ὕφει διαλόγου, τὸ δ᾽ ἐπὶ τούτοις τέταρτον περιέχει ἀποδείξεις διὰ συλλογισμῶν, ὅτι ἄτρεπτος ὁ Θεὸς Λόγος. Σ. Μ.

(1) Ὁ Φώτιος (ἀνάγν. μς΄) ἀνέγνω λόγους κζ΄ πρὸς διαφόρους θέσεις (τῶν Εὐτυχιανῶν)· ἀλλ᾽ ἐξ αὐτῶν οἱ τελευταῖοι εἴκοσι, ὡς λέγει Μάριος ὁ Μερκάτωρ, ἐγράφησαν ὑπὸ Ἐλευθερίου ἐπισκόπ. Τυάνων, τοῦ τὰ Νεστορίου φρονήσαντος· οἱ δὲ πρῶτοι ἑπτὰ εἰσι πιθανῶς τὸ σύγγραμμα, ὅπερ ὁ Θεοδώρητος (βλ. σελ. 174. σημ. 6.) καλεῖ σύγγραμμα περὶ Θεολογίας καὶ τῆς ἐν σαρκὶ τοῦ Λόγου οἰκονομίας, καὶ ὅπερ ἀπωλέσθη, ὡς καὶ ἄλλα τινά.

[γ] Ὁ θεῖος Φώτιος, καὶ τὸ σύγγραμμα τοῦτο ἀναγνῶναι γράφων, τοῖς συνήθεσιν ἐπαίνοις τὸν συγγραφέα αὐτοῦ κατακοσμεῖ· ὡς σαφὴς (λέγων) τὴν φράσιν ἐστίν, ὡς εὐκρινὴς καὶ καθαρός, καὶ οὐκ ἄμοιρος τοῦ ἡδέος, ὡς καταλλήλως τοῖς νοήμασιν εὐθηνούμενος (ἀναγν. μς΄.) Σ. Μ.

Ἐν τῇ δογματικῇ διδασκαλίᾳ τοῦ μακαρίου Θεοδωρήτου ὁρῶμεν αὐστηρὰν προσοχὴν εἰς τὸν λόγον τοῦ Θεοῦ, ὡς εἰς βάσιν τῆς πίστεως, πρὸς δὲ καὶ εἰς τὴν ἀκριβῆ, κατὰ γράμμα, σημασίαν αὐτοῦ. Καὶ ἐνταῦθα φαίνεται ὁ Θεοδώρητος ἀληθὴς τοῦ Χρυσοστόμου μαθητής, καὶ τρόφιμος τοῦ Διδασκαλείου τῆς Ἀντιοχείας, ἔνθα κατ᾽ ἐξοχὴν ἀπέφευγον τὰς ἀλληγορικὰς θεωρίας. Ἀναμφήριστον μὲν ὅτι ἡ τοιαύτη τοῦ πνεύματος διάθεσις, καὶ ἡ ὑπερβολικὴ ἐμπιστοσύνη πρὸς τὸν συμμοναστὴν καὶ συσπουδαστὴν αὐτῷ γενόμενον Νεστόριον, καθίστη αὐτὸν οὐκ ἀείποτε δίκαιον ὡς πρὸς τὸν Ποιμένα τῆς Ἀλεξανδρείας, ἀλλ᾽ ἀναμφήριστον ἐπ᾽ ἴσης, ὅτι αὕτη κατέστησεν αὐτὸν τὸν πρῶτον ὑπέρμαχον τῆς ὀρθοδόξου πίστεως κατὰ τοῦ Εὐτυχοῦς, καὶ ὅτι αὕτη ἠνάγκασεν καὶ αὐτὸν τὸν Κύριλλον ἐκτιθέναι μετὰ τῆς προσηκούσης προσοχῆς καὶ ἀκριβείας τὴν περὶ τῆς πίστεως διδασκαλίαν αὐτοῦ. Κατ᾽ ἐξοχὴν δ᾽ ἀδύνατον μὴ εἰδέναι αὐτῷ χάριν ἐπὶ τῷ ζήλῳ αὐτοῦ διὰ τὴν ἀκριβῆ ἔκθεσιν τῆς περὶ τοῦ ἁγ. Πνεύματος διδασκαλίας τῆς Γραφῆς, δι᾽ ὃ οἱ ἐν τῇ Δύσει πάνυ δυσμενῶς ἔχουσι πρὸς τὸν ποιμένα τῆς Κύρου([1]). Ἡ πρὸς τὸν Ἀντιοχείας Ἰωάννην ἐπιστολὴ αὐτοῦ μετὰ τὰς διαλλαγὰς τῆς Αἰγύπτου μετὰ τῆς Ἀνατολῆς καταδείκνυσιν οἷος ἦν ὡς δογματιστὴς καὶ οἵα ἦν ἡ περὶ τοῦ ἁγίου Πνεύματος διδασκαλία τῆς Ἐκκλησίας. «Ὁ πάντα, λέγει, σοφῶς πρυτανεύων Θεός, καὶ τῆς ἡμετέρας προμηθούμενος ὁμονοίας, καὶ τῆς τῶν λαῶν κηδόμενος σωτηρίας, συναθροισθῆναι ἡμᾶς κατὰ ταὐτὸ παρεσκεύασε, καὶ συμφώνους ἀλλήλοις τὰς πάντων ἔδειξε γνώμας. Ἐν κοινῷ γὰρ ἀναγνόντες τὰ αἰγύπτια γράμματα, καὶ ἐξετάσαντες αὐτῶν ἀκριβῶς τὴν διάνοιαν, εὕρομεν σύμφωνα τοῖς εἰρημένοις (ἀφ᾽ ἡμῶν) τὰ ἐκεῖθεν ἀπεσταλμένα . . . . Τὰ δὲ νῦν ἀπεσταλμένα τῇ εὐαγγελικῇ εὐγενείᾳ καλλύνεται· Θεὸς γὰρ τέλειος καὶ ἄνθρωπος τέλειος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἀναδείκνυται ἐν αὐτοῖς· καὶ φύσεις δύο, καὶ τούτων διαφορά, καὶ ἕνωσις ἀσύγχυτος οὐ κατὰ κρᾶσιν καὶ φυρμόν, ἀλλ᾽ ἀπορρήτως καὶ θεοπρεπῶς γενομένη· καὶ τῶν φύσεων τὰς ἰδιότητας ἀκρατῶς διαφυλάξασα· καὶ ἀπαθὴς μὲν ὁ Θεὸς Λόγος καὶ ἄτρεπτος, παθητὸς δὲ ὁ ναός, καὶ τῷ θανάτῳ πρὸς ὀλίγον παραδοθείς, καὶ πάλιν τῇ δυνάμει τοῦ ἑνωθέντος Θεοῦ

([1]) Τούτου ἕνεκα καθήψατο αὐτοῦ σφοδρῶς ὁ Γαρνιῆρος.

ἐγερθείς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐξ Υἱοῦ, ἢ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχον, ἀλλ' ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ἴδιον δὲ Υἱοῦ ὡς ὁμοούσιον ὀνομαζόμενον...»(¹).

§. 221. Λέων ὁ Πάπας· α΄) ἐν τῷ βίῳ αὐτοῦ.

Λέων ὁ Α΄ τ' ὄνομα τοῦτο σχών, Πάπας Ρώμης, τὴν πατρίδα Ρωμαῖος [α], ἐπὶ τοῦ Καιλεστίνου διάκονος [β] καὶ ζηλωτὴς τῆς ὀρθοδοξίας κατὰ τοῦ Νεστορίου (²), τῷ 439 πρεσβευτὴς καὶ διαλλάκτης τῶν στρατηγῶν Ἀετίου καὶ Ἀλβίνου ἐν Γαλλίαις [γ], καὶ ἀπὸ

(¹) Τὴν ἐπιστολὴν ταύτην ἀνέγνω ἐν τῇ συνόδῳ τῆς Φλωρεντίας ὁ μακάριος Μάρκος ὁ Ἐφέσου ὡς σύγγραμμα τοῦ Θεοδωρήτου (Concil. ed. Labbaei et Harduini T. IX. p. 298). Ὁ Ἀλλάτιος (Vind. Synod. Ephes. Romæ, 1561) καὶ ὁ Κοτελέριος (ἐπ' ἴσης ἐκδοὺς αὐτὴν in Monum Gr. Eccles. T. I. p. 48) ἀμφέβαλλον περὶ τῆς γνησιότητος αὐτῆς· ἀλλὰ μέρος αὐτῆς ἀναγινώσκεται ἐν τοῖς Πρακτ. τῆς Ε΄ Οἰκουμ. Συν. (Mans. T. IX. p. 294. gr. in cod. Ven. S. Marci. 504. catal. p. 267). Ἀρχαία αὐτῆς μετάφρασις *in Synodico* (Mans. T. V. p. 816. Lup. ep. in Auct. Concil. ephes. Lovan. 1681. p. 431).

[α] Τό τε ἔτος καὶ τὸν τόπον τῆς γεννήσεως τοῦ ἁγίου Λέοντος οὐ γινώσκομεν ἀκριβῶς. Ἦν υἱὸς τοῦ Κουϊντιανοῦ, ἀνήκοντος εἰς εὐγενῆ τῆς Τοσκάνης οἶκον. Ἐκ τῶν ἱστορικῶν οἱ μὲν λέγουσιν, ὅτι ἐγεννήθη ἐν τῇ τελευταίᾳ ταύτῃ χώρᾳ, οἱ δὲ ἐν Ρώμῃ. Ὁ σύγχρονος αὐτῷ Πρόσπερος λέγει (in Chronn. sub Valentiniano V et Anatolio coss.), ὅτι ἦν Ρωμαῖος, καὶ αὐτὸς ὁ θεῖος Πατὴρ καλεῖ ἑαυτὸν ἀείποτε Ρωμαῖον τὴν πατρίδα. Περὶ τοῦ ἔτους τῆς γεννήσεως αὐτοῦ οὐδὲν οὐδαμοῦ λέγεται.

[β] Διάκονος ἐχειροτονήθη τῷ 430. Τῷ 418 ἐκκλησιαστικὸς ἀκόλουθος (Acolythus) ἔτι ὢν ἐπέμφθη ἐκ Ρώμης εἰς Ἀφρικὴν ἐγχειρίσων Αὐρηλίῳ τῷ Καρχηδόνος, Αὐγουστίνῳ τῷ Ἱππῶνος καὶ ἄλλοις ἐπισκόποις τῆς Ἀφρικῆς ἐπιστολὰς τοῦ ρωμαίου Ποντίφηκος, περιεχούσας καταδίκην τῆς πελαγιανῆς αἱρέσεως (S. August. ep. 191. n. I. ep. 194. n. 1. πρβλ. P. Quesneli Dissert. I. ad an. 418). Σ. Μ.

(²) Βλ. περὶ Κασσιανοῦ Leo der Grosse und seinc Zeit *Arendt*, Mainz. 1835.

[γ] Τοῦτο δείκνυσιν ὅσον περὶ πολλοῦ ἐποιεῖτο ὁ Αὐτοκράτωρ τόν τε χαρακτῆρα καὶ τὰ διανοητικὰ πλεονεκτήματα αὐτοῦ. Ἀμφοτέρους τούτους τοὺς στρατηγοὺς κατέπεισε κα-

τοῦ 440 Πάπας [δ]. Τῷ 443 πάνυ πολλοὶ Μανιχαῖοι, ἐξωσθέντες τῆς Ἀφρικῆς ὑπὸ τῶν Βανδάλων, κατέφυγον εἰς Ρώμην· ἵνα δὲ λανθάνωσι τοὺς ὀρθοδόξους, ἐφοίτων εἰς τοὺς ναοὺς αὐτῶν, καὶ μετελάμβανον τῶν ἀχράντων μυστηρίων, ἀλλὰ μόνον ὑπὸ τὸ εἶδος τοῦ Ἄρτου. Ἀποκαλύψας ἐκ τούτου τὸν δόλον αὐτῶν ὁ Λέων, ἤλεγξε σφοδρῶς τὴν ἀπιστίαν αὐτῶν, παρῄνεσε τοῖς πιστοῖς φυλάττεσθαι αὐτήν, καὶ πολλοὺς τῶν αἱρετικῶν τούτων ἔπεισε γενέσθαι ὀρθοδόξους (¹).

Τῷ 445 ἤρξατο ἡ ἔρις τοῦ Λέοντος πρὸς Ἱλάριον τὸν Ἀρελάτης Μητροπολίτην ἕνεκα τῶν τῆς Μητροπόλεως ὁρίων, ἃ ἔγνω ὁ Πάπας τῇ ἐξουσίᾳ αὐτοῦ περιορίσαι. Τῷ 448 ὁ Εὐτυχής, ὃν οὔπω ἐγίνω-

ταλιπεῖν τὴν ὀλεθρίαν αὐτῶν ἀντιζηλίαν καὶ ἁπάσας αὐτῶν τὰς δυνάμεις στρέψαι κατὰ τῶν βαρβάρων. Ἐν ἐκείνοις τοῖς αἰῶσι, καθ' οὓς ἡ ἀνθρωπότης ἁπάντων ἐνδεῶς εἶχεν, ἁπανταχοῦ ἐπιφαίνεται ἡ θρησκεία ὡς ἄγγελος τῆς εἰρήνης καὶ τῆς ἀγάπης Σ. Μ.

[δ] Ὁ ἅγ. Λέων ἦν ἔτι ἐν Γαλλίαις, ὅτε ὁ Πάπας Σίξτος ἐτελεύτησεν, ὀκτὼ περίπου ἔτη ἐπισκοπήσας. Ἡ Ἐκκλησία τῆς Ρώμης ἐξελέξατο αὐτὸν παμψηφεὶ διάδοχον τοῦ Σίξτου, καί περ ἀπόντα, τῇ κη' Ἰουλίου τοῦ 440, καὶ τῇ η' Σεπτεμβρίου ἀνέβη ὁ μακάριος ἐπὶ τοῦ ποντιφικοῦ θρόνου. Σ. Μ.

(¹) Leon. Serm. XV. p. 31. XXXIII. p 67 XLI. p. 10. Epist. VIII. p. 33. XV. Turribio Acturicensi episcopo. [Ἄξιοι σημειώσεως οἱ λόγοι αὐτοῦ τοῖς πιστοῖς κατὰ τῶν αἱρετικῶν τούτων οὐ μεταλαμβανόντων τοῦ Αἵματος τοῦ Κυρίου: Cum ad tegendum infidelitatem suam nostris audent interesse mysteriis, ita in Sacramentorum communione se temperant, ut interdum, ne penitus latere non possint, ore indigno Christi corpus accipiant, sanguinem autem redemptionis nostræ haurire omnino declinant· quod ideo vestræ notum facimus sanctitati, ut vobis hujus modi homines, et his manifestentur indiciis, et quorum deprehensa fuerit sacrilega simulatio, a sanctorum societate sacerdotali autoritate pellantur (in Quadrages. Serm. 4. p. 217). Τοὺς λόγους τούτους τοῦ θείου Πατρὸς παραγαγὼν ὁ Cave λέγει: Hoc igitur tempore in ecclesia Romana fideles Eucharistiam sub utraque specie sumere solebant, et qui aliter facerent, infami haereseos signo palam notabantur. Si alia jam sint ecclesiæ Romanæ placita, mores alii, viderint quorum interest (Script. eccl. Hist. liter. T. I. p. 431.) Σ. Μ.].

σκον καλῶς ἐν τῇ Δύσει, ἐσπούδασε κτήσασθαι δι᾽ ἐπιστολῆς τὴν εὔνοιαν τοῦ Λέοντος [ε]. Ἔγραψεν ὁ Λέων, καὶ ἐμεσίτευσεν ὑπὲρ τοῦ ἀνθρώπου παρά τε τῷ Αὐτοκράτορι καὶ τῷ Φλαβιανῷ, παρ᾽ ὧν μαθὼν ἅπασαν τὴν ὑπόθεσιν, κατεδίκασε τὸν αἱρετικόν, καὶ ἔπεμψε πρὸς τὸν Φλαβιανὸν ἐπιστολήν, ἣ διεξοδικῶς καὶ πολυμαθῶς κατὰ τοῦ Εὐτυχοῦς καὶ τῶν πλανῶν αὐτοῦ ἐπραγματεύσατο. Τῷ ἐπιόντι ἔτει ἔπεμψε τοποτηρητὰς εἰς τὸ ληστρικὸν κατὰ τὴν Ἔφεσον συνέδριον, ἀλλὰ τοῦτο οὐδεμίαν ἤνεγκεν ὄνησιν. Γενομένων ἐν Ῥώμῃ γνωστῶν τῶν ἐν τῷ συνεδρίῳ τούτῳ διαπραχθέντων κακουργημάτων [ζ], ἔγραψε πρὸς τὸν Αὐτοκράτορα Θεοδόσιον. «... Συνέλθετε τοῖς καθολικοῖς τῷ ὑμετέρῳ πατρῴῳ ἔθει, καὶ δότε παρρησίαν τῆς πίστεως εἰς ἐκδίκησιν, ἥν τινα, σωζομένης τῆς αἰδοῦς τῆς ὑμετέρας εὐσεβείας, οὐδεμία βία, οὐδεμία κοσμικὴ ἀπειλὴ δυνήσεται ἀποκινῆσαι. Ὅταν γὰρ τῆς Ἐκκλησίας τὰ δόγματα γυμνάζωμεν, τῆς ὑμετέρας εὐσεβείας καὶ σωτηρίας φροντίζομεν, ἵνα τῶν ὑμετέρων ἐπαρχιῶν ἡσύχῳ δικαιώματι ἀπολαύητε· ἐκδικήσατε κατέναντι τῶν αἱρετικῶν

[ε] Καταδικασθεὶς ὁ Εὐτυχὴς ἐν τῇ κατὰ Κωνσταντινούπολιν τῇ η΄ Νοεμβρίου τοῦ 448 σωτηρίου ἔτους συστάσῃ Συνόδῳ, ἧς προεξῆρχεν ὁ ἅγιος Φλαβιανός, ἔγραψε πρὸς τὸν Π. Λέοντα ἐπιστολήν, ἐν ᾗ μεμφόμενος τοῖς ἑαυτοῦ κατηγόροις, διεμαρτύρετο, ὅτι οὐδένα νεωτερισμὸν εἰσάγει εἰς τὴν πίστιν, καὶ ὅτι ἀναθεματίζει τὸν Ἀπολλινάριον, τὸν Βαλεντῖνον, τὸν Μάνεντα, τὸν Νεστόριον καὶ ἁπάσας καθόλου τὰς αἱρέσεις. Ὁ ἅγιος Λέων ἀπεκρίνατο αὐτῷ ὧδε: «Τῷ ποθεινοτάτῳ υἱῷ Εὐτυχεῖ πρεσβυτέρῳ, Λέων Ἐπίσκοπος. Εἰς γνῶσιν ἡμετέραν διὰ τῶν τῆς σῆς ἀγάπης ἐπιστολῶν ἀνήνεγκας, ὅτι ἡ νεστοριακὴ αἵρεσίς τινων πάλιν ταῖς σπουδαῖς ἀνθεῖ. Τὸν ζῆλον τὸν σὸν ἐκ τούτου τοῦ μέρους ἡμῖν ἀρέσαντα ἀντιγράφομεν, ἐπειδὴ μηνυτὴς τοῦ σοῦ λογισμοῦ ἐστιν ὁ λόγος, ὃν ἐδεξάμεθα. Διὸ μὴ ἀμφιβάλῃς τὸν ἀρχηγὸν τῆς καθολικῆς πίστεως τὸν Δεσπότην ἐν πᾶσι σοὶ παρεσόμενον. Ἡμεῖς δέ, ὅταν πληρέστερον ὧν τῇ ἀναιδείᾳ τοῦτο γίνεται δυνηθῶμεν γνῶναι, ἐπάναγκές ἐστι, τοῦ Δεσπότου βοηθοῦντος, προνοῆσαι ἄχρις οὗ ὁ ἀθέμιτος ἰὸς ὁ πάλαι κατακριθεὶς ῥιζόθεν δυνηθῇ σβεσθῆναι. Ὁ Θεὸς ὑγιῆ σε διαφυλάξαι, υἱὲ ποθεινότατε». Σ. Μ.

[ζ] Ἅμα μαθὼν ταῦτα ὁ ἅγ. Πατήρ, συνήγειρε ἐν Ῥώμῃ σύνοδον, ἐν ᾗ ἠκύρωσε τὰ πρακτικὰ τοῦ συνεδρίου τούτου καὶ κατεδίκασε τὸν δυσώνυμον Διόσκορον καὶ τὸν Εὐτυχῆ. Σ. Μ.

τὸν ἀσάλευτον τῆς Ἐκκλησίας θεσμόν, ἵνα καὶ τῆς ὑμετέρας βασιλείας τῇ δεξιᾷ τοῦ Χριστοῦ ἐκδικηθείη τὸ κράτος . . . » (¹). Ὁ Αὐτοκράτωρ Μαρκιανὸς καὶ ἡ Πουλχερία συνεκάλεσαν (τῷ 451) Οἰκουμενικὴν Σύνοδον ἐν Χαλκηδόνι[η], ἐν ᾗ καὶ οἱ τοῦ Πάπα τοποτηρηταὶ παρεγένοντο. Ἡ ἐπιστολὴ τοῦ Λέοντος μετὰ τῆς ἐκθέσεως τῆς πίστεως περὶ τοῦ προσώπου τοῦ Ἰησοῦ Χριστοῦ, ἡ πρὸ δύο ἐτῶν γραφεῖσα πρὸς τὸν Ἀρχιεπίσκοπον Φλαβιανόν, ἀνεγνώσθη, κατ᾽ αἴτησιν τῶν τοποτηρητῶν ἐν τῇ Συνόδῳ, καὶ ἐπεδοκιμάσθη ὑπὸ τῶν Πατέρων τῆς Συνόδου[θ], ἀλλὰ τοῦτο οὐκ ἐθεωρήθη ὑπὸ τῶν τοποτηρητῶν ἀποχρῶν. Ἐν τῇ τρίτῃ συνεδριάσει ᾔτουν ἐπιμόνως, ἵνα ἡ ἐπιστολὴ αὕτη ταχθῇ ἐν ταῖς περὶ πίστεως διατάξεσι τῆς Συνόδου· οἱ Πατέρες ἀπέρριψαν ταύτην τὴν αἴτησιν[ι]. Ἔπειτα, ὅτε ὡρίσθη ἐν τῇ Συνόδῳ, ἵνα ὁ Κωνσταντινουπόλεως ἐπίσκοπος ἔχῃ τὰ ἴσα πρεσβεῖα τῷ τῆς πρεσβυτέρας Ῥώμης, οἱ τοποτηρηταὶ ἠγέρθησαν πάνυ σφοδρῶς κατὰ τούτου, ἀλλ᾽ ἡ τῆς Συνόδου ἀπόφασις ἐπεκυρώθη[κ]. Μαθὼν

(¹)Leon. Ep. XLII ed. Quesnel. XLIII ed. Romana, p. 187. Ep. ad Theodosium XL ed. Quesnel. XLI ed. Romana. p. 178. Ep. ad Pulcheriam XLI ed. Quesnel. XLII ed. Rom. p. 183.

[η] Εἰς μάτην ἐπόνησε παρά τε τῷ Αὐτοκράτορι καὶ τῇ εὐσεβεστάτῃ Πουλχερίᾳ Αὐγούστῃ ὁ ἅγιος Λέων, ὅπως ἡ Δ´ Σύνοδος συγκροτηθῇ ἐν Ἰταλίᾳ. «Ἔμελλε γὰρ καὶ κατὰ τοῦτο, λέγει ὁ ἀείμνηστος Οἰκονόμος, ἐν τῇ Ἀνατολῇ πληρωθήσεσθαι τὸ προφητικόν. Ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλοις ἑπτὰ (ταῖς Ζ´ οἰκουμενικαῖς ἁγίαις Συνόδοις)· καθότι καὶ τῷ Νυμφίῳ τῆς Ἐκκλησίας Ἀνατολὴ ὄνομα αὐτῷ». (Περὶ τῶν Ο´ ἑρμην. τῆς Π. Θ. Γ. βιβλ. Δ´ κεφ. ε´ σελ. 675). Σ. Μ.

[θ] Τὴν ἐπιστολὴν ταύτην ἐπωνόμασεν ἡ Σύνοδος στήλην τῆς ὀρθοδοξίας, καὶ διὰ τοῦ συνοδικοῦ αὐτῆς ὅρου ἐβεβαίωσε. Σ. Μ.

[ι] Ἐπιμενόντων τούτῳ πολλῷ μᾶλλον τῶν τοποτηρητῶν τοῦ Πάπα, οἱ ἐπίσκοποι εἶπον· οἱ ἀντιλέγοντες εἰς Ῥώμην ἀπέλθωσιν. Σ. Μ.

[κ] Οἱ τοποτηρηταὶ ἐκραύγαζον, ὅτι διὰ τούτου καταπατοῦνται οἱ κανόνες τῆς ἐν Νικαίᾳ Συνόδου· ὅτι οὐδὲν ἐναντίον τῇ ἀξίᾳ τῆς ρωμαϊκῆς Ἐκκλησίας δύνανται ἀποδέξασθαι· ὅτι οὐ δεῖ ταπεινωθῆναι τὸν ἀποστολικὸν τῆς Ῥώμης θρόνον. Οὐ μὴν ἀλλὰ μετ᾽ ἀκριβεστάτην τῆς ὑποθέσε-

τοῦτο ὁ Λέων, ἐδήλωσε τὴν δυσαρέστησιν αὐτοῦ κατ' ἐξοχὴν κατὰ τοῦ ἁγίου Ἀνατολίου, καὶ δὴ καὶ ἔγραψεν, ὅτι εἰ καὶ ἀποδέχεται τὴν ὁμολογίαν τῆς Χαλκηδόνος, ἀλλὰ τὴν περὶ τῶν θρόνων ἀπόφασιν «τῇ ἐξουσίᾳ τοῦ Ἀποστόλου Πέτρου στερεῖ τῆς δυνάμεως τῆς γενικῆς ἀποφάσεως»· «in irritum mettimus et per auctoritatem B. Petri Apostoli generali prorsus definitione cassamus» (epist. LXXIX ad Pulcheriam August. c. 3). Ρητέον, ὅτι εἰς μάτην τοσοῦτον ἐμερίμνων περὶ τῆς ὑψώσεως τῆς ἐξουσίας τοῦ Πέτρου, ὃς οὐκ ᾔτει ἑαυτῷ πρωτεῖον, καὶ δὴ καὶ οὐκ ἠρνήσατο ὑποβαλεῖν τῇ ἐξετάσει συνόδου τῶν ἀδελφῶν τὴν ἄνωθεν ἀποκαλυφθεῖσαν αὐτῷ δοξασίαν. Ἐντεῦθεν οἱ Πατέρες τῆς Οἰκουμενικῆς Συνόδου οὐκ ἐπέτρεψαν ἀναγνωσθῆναι καὶ τὸ μέρος ἐκεῖνο τῆς ἐπιστολῆς τοῦ Λέοντος, ἔνθα ἐξέφραζε τὴν δυσαρέστησιν αὐτοῦ κατὰ τοῦ κη΄ κανόνος τῆς Συνόδου [λ]. Ὁ Λέων

ως ἐξέτασιν, κοινῇ τῶν ἐπισκόπων ψήφῳ, συναινούντων καὶ τῶν τοῦ Αὐτοκράτορος ἀντιπροσώπων, ἡ ἀπόφασις ἐπεκυρώθη καὶ ἐβεβαιώθη Σ. Μ.

[λ] Οὐκ ἀπὸ σκοποῦ κρίνομεν παραθεῖναι ἐνταῦθα τὸ κείμενον τοῦ κη΄ τούτου κανόνος. «Πανταχοῦ τοῖς τῶν ἁγίων Πατέρων ὅροις ἑπόμενοι, καὶ τὸν ἀρτίως ἀναγνωσθέντα κανόνα τῶν ἑκατὸν πεντήκοντα θεοφιλεστάτων ἐπισκόπων, τῶν συναχθέντων ἐπὶ τοῦ τῆς εὐσεβοῦς μνήμης μεγάλου Θεοδοσίου, τοῦ γενομένου βασιλέως ἐν τῇ βασιλίδι Κωνσταντινουπόλει, νέᾳ Ῥώμῃ, γνωρίζοντες, τὰ αὐτὰ καὶ ἡμεῖς ὁρίζομέν τε καὶ ψηφίζομεν περὶ τῶν πρεσβείων τῆς ἁγιωτάτης Ἐκκλησίας τῆς Κωνσταντινουπόλεως, νέας Ῥώμης. Καὶ γὰρ τῷ θρόνῳ τῆς πρεσβυτέρας Ῥώμης, διὰ τὸ βασιλεύειν τὴν πόλιν ἐκείνην, οἱ Πατέρες εἰκότως ἀποδεδώκασι τὰ πρεσβεῖα. Καὶ τῷ αὐτῷ σκοπῷ κινούμενοι οἱ 150 θεοφιλέστατοι ἐπίσκοποι, τὰ ἴσα πρεσβεῖα ἀπένειμαν τῷ τῆς νέας Ῥώμης ἁγιωτάτῳ θρόνῳ, εὐλόγως κρίναντες, τὴν βασιλείᾳ καὶ συγκλήτῳ τιμηθεῖσαν πόλιν, καὶ τῶν ἴσων ἀπολαύουσαν πρεσβείων τῇ πρεσβυτέρᾳ βασιλίδι Ῥώμῃ, καὶ ἐν τοῖς ἐκκλησιαστικοῖς ὡς ἐκείνην μεγαλύνεσθαι πράγμασι, δευτέραν μετ' ἐκείνην ὑπάρχουσαν. Καὶ ὥστε τοὺς τῆς Ποντικῆς, καὶ τῆς Ἀσιανῆς, καὶ τῆς Θρᾳκικῆς διοικήσεως Μητροπολίτας μόνους, ἔτι δὲ καὶ τοὺς ἐν τοῖς βαρβαρικοῖς ἐπισκόπους τῶν προειρημένων διοικήσεων χειροτονεῖσθαι ὑπὸ τοῦ προειρημένου ἁγιωτάτου θρόνου τῆς κατὰ Κωνσταντινούπολιν ἁγιωτάτης Ἐκκλησίας . . . .» Παράγων τὸν κανόνα τοῦτον ὁ σοφὸς καθηγητὴς τοῦ ἡμετέρου Πανεπιστημίου κύριος Κωνσταντῖνος Παπαρ-

ἠναγκάσθη μηδὲν τοῦ λοιποῦ λέγειν περὶ τῆς ἑαυτοῦ ἀξιώσεως καὶ διηλλάγη πρὸς τὸν ἅγιον Ἀνατόλιον (1). Ὁ μακάριος Πάπας ἐδείχθη ὄντως μέγας, ὅτε τῷ 452 τῇ δυνάμει τοῦ λόγου ἐπέσχε τὸν Ἀττίλαν ἕτοιμον ὄντα εἰσελθεῖν εἰς Ρώμην μετὰ πυρὸς καὶ σιδήρου, τῷ δὲ 455 ἔπεισε τὸν Γιζέριχον τοὐλάχιστον μὴ ἐκχέαι αἷμα καὶ μὴ παραδοῦναι φλοξὶ τὰς ἐν Ρώμῃ οἰκοδομάς (2). Ὁ ἀείποτε μέγας καὶ ἔνθερμος τῆς πίστεως ζηλωτής, ὁ ἅγιος ποιμὴν ἐξεδήμησε πρὸς Κύριον τῷ 461ῳ σωτηρίῳ ἔτει (3).

§. 222. β´) Ἐν τοῖς συγγράμμασιν ὡς διδάσκαλος τῶν δογμάτων καὶ τῆς ἠθικῆς.

Ὁ ἅγιος Λέων ἐμερίμνα περὶ τῆς σωτηρίας τοῦ ποιμνίου οὐ μόνῃ τῇ ἐξουσίᾳ, ἀλλὰ καὶ τῷ λόγῳ τοῦ Θεοῦ. Τὸ κηρύττειν τὸν λόγον τοῦ Θεοῦ ἡγεῖτο ὀφειλομένην ὑπηρεσίαν (4). Ἡ μέριμνα

ρηγόπουλος ἐν τῷ δευτέρῳ τόμῳ (σελ. 758—59) τῆς ὑπ' αὐτοῦ συνταχθείσης ἱστορίας τοῦ ἑλληνικοῦ ἔθνους, ἐπάγει τάδε: «..... .... παρατηροῦμεν, ὅτι ἡ παπικὴ ἀρχὴ ἐστήριξεν ἀείποτε τὰς ἀξιώσεις αὐτῆς εἰς ἑτέρους λόγους, οὐχὶ δὲ ἐπὶ τοῦ προκειμένου κανόνος, ὅστις οὐδαμῶς συνέφερεν αὐτῇ· διότι ἔλεγε τὴν Ρώμην ἔχουσαν τὰ πρεσβεῖα τῆς τιμῆς μόνον ὡς βασιλεύουσαν πόλιν· ἄρα συνεπήγετο τὴν καθαίρεσιν τοῦ ἀξιώματος τῆς βασιλικῆς πόλεως, ὅπερ συνέβη μετ' ὀλίγον ὡς ἐκ τῆς καταλύσεως τοῦ δυτικοῦ ρωμαϊκοῦ κράτους· τὸ δὲ χείριστον διὰ τὴν παπικὴν ἀρχήν, συνεπήγετο ἐν ταὐτῷ τὸ συμπέρασμα, ὅτι ἐπειδὴ ἡ Κωνσταντινούπολις ἔμεινεν ἡ μόνη πρωτεύουσα τοῦ ρωμαϊκοῦ κράτους, ἄρα ὁ ἀρχιερεὺς αὐτῆς ἐκληρονόμησε μόνος, κατὰ τὸ γράμμα καὶ τὸ πνεῦμα τοῦ 28 κανόνος, καὶ τὰ πρεσβεῖα τῆς τιμῆς. Ἐντεῦθεν ἐξηγεῖται ἐκ προοιμίου διατὶ ἡ παπικὴ ἀρχὴ ἠγωνίσθη ἄλλοθεν νὰ ὀχυρώσῃ τὰς ἀξιώσεις αὐτῆς· ἀλλ' ἐκ προοιμίου ὡσαύτως ἀναφαίνεται ὁπόσα ἰσχυρὰ προσκόμματα ἔμελλε ν' ἀπαντήσῃ ἐν τῇ ρητῇ καὶ πανηγυρικῇ ἐκείνῃ ἀποφάνσει τῆς Δ´ Οἰκουμεν. Συνόδου». Σ. Μ.

(1) Leon. ep. CIV ad episc. Syn. LXXIX ad Pulcher. CV ad imperat. CVI ad imperat. CVII ad Julian. CIX ad Patr. Antioch. Maximum. CXIX, CXXXII, CXXXV, CXXXVI.

(2) Act. Sanct. ed. Bolland. Prosp. Chron. ad an. 452 et 455.

(3) Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ια´ Ἀπριλίου. Act. SS. ad XI April.

(4) De Passione Domini Serm. VII. c. 1. «..... de servitute, quam debeo...»

αὕτη ἐστὶν ἀξιοσημείωτος κατ᾽ ἐξοχήν, ἅτε δὴ πάνυ σπανία οὖσα παρὰ τοῖς ρωμαίοις ἐπισκόποις. Ἐκ τῶν λόγων αὐτοῦ περιελείφθησαν 96, οἳ διαπρέπουσιν ἐπὶ σαφηνείᾳ καὶ δυνάμει [μ], καὶ ἐκ τῶν ἐπιστολῶν αὐτοῦ 143 (¹).

Ἡ περὶ πίστεως διδασκαλία τοῦ ἁγίου Λέοντος ὑπάρχει ἐν τῇ πρὸς Φλαβιανὸν τὸν Κωνσταντινουπόλεως Ἀρχιεπίσκοπον ἐπιστολῇ αὐτοῦ. Εἰπὼν ὁ θεῖος Πατήρ, ὅτι ἡ πλάνη τοῦ Εὐτυχοῦς ἐστι καρπὸς ὑπερηφάνου ἀμαθείας, καὶ ὅτι ἀείποτε ἀναδείκνυνται πλάνης διδάσκαλοι οἱ οὐκ ἐπὶ τὰς προφητικὰς φωνάς, οὐκ ἐπὶ τὰς τῶν Ἀποστόλων Γραφάς, οὐκ ἐπὶ τὰς εὐαγγελικὰς αὐθεντίας, ἀλλ᾽ ἐφ᾽ ἑαυτοὺς ἀνατρέχοντες, ἐκτίθησι τὴν διδασκαλίαν τῆς Ἐκκλησίας. «Ἀγνοῶν τοίνυν (ὁ Εὐτυχής), λέγει, τί δέον περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Θεοῦ Λόγου νοεῖν, καὶ τῶν θείων Γραφῶν ἐν τῷ πλάτει πονεῖν οὐ βουλόμενος, ὅπως ἂν τοῦ φωτὸς τῆς ἐντεῦθεν γνώσεως ἄξιος γένηται, ἐκείνην γοῦν ὤφειλε τὴν κοινὴν καὶ μὴ διαφωνοῦσαν ὁμολογίαν ἐν ἀκροάσει περιμερίμνῳ ποιήσασθαι, ἣν τῶν πιστῶν ἅπαν τὸ πλῆθος ὁμολογεῖ, πιστεύειν εἰς Θεὸν Πατέρα Παντοκράτορα, καὶ εἰς Χριστὸν Ἰησοῦν, τὸν Υἱὸν Αὐτοῦ τὸν Μονογενῆ, τὸν Κύριον ἡμῶν· τὸν τεχθέντα ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου. Δι᾽ ὧν τριῶν ἀποφάσεων τὰ πάντων σχεδὸν αἱρετικῶν καταλύεται μηχανήματα. Ὁπότε γὰρ Θεὸς καὶ Παντοκράτωρ, καὶ Πατὴρ εἶναι

[μ] L' éloquence de ce grand Pape,, λέγει ὁ Γάλλος Guillon, a un caractère spécial et qui semble n' appartenir qu' à lui. Ce n' est point la vigueur mâle, impétueuse de Saint Jean Chrysostome, ni l' abondante subtilité d' esprit de Saint Ambroise, de Saint Augustin ; c' est une éloquence grave, sans passion, pleine de dignité, et qui resprire son souverain... » (Biblioth. choisie des Pères de l' Église, tom. XXXIII. p. 45). Σ. Μ.

(¹) Αἱ ἄρισται τῶν ἐκδόσεων τῶν συγγραμμάτων τοῦ ἁγ. Λέοντός εἰσι: S Leonis Opera omnia ed. a *Quesnelio*, Paris. 1675 2 vol. Romæ, a *Cassiario* 1753-55. a *Ballerinis* Venet. 1757. T. I-III. Σημειωτέον, ὅτι ἡ ἔκδοσις τοῦ Κουεσνελίου ἐκωλύθη εἰσηγήσει τῶν Ἰησουϊτῶν, διότι δῆθεν διεφθάρη ἐν αὐτῇ τὸ κείμενον τοῦ Λέοντος, ἰδίως περὶ τοῦ ρωμαϊκοῦ θρόνου (index libr. prohib. 1682 p. 277).

πιστεύεται, συναΐδιος Αὐτῷ καὶ ὁ Υἱὸς ἀποδείκνυται, ἐν οὐδενὶ τοῦ Πατρὸς διαφέρων· ἐπειδή περ ἐκ Θεοῦ Θεός, ἐκ Παντοκράτορος Παντοκράτωρ, ἐξ ἀϊδίου γεννηθεὶς συναΐδιος, οὐ μεταγενέστερος χρόνῳ, οὐκ ἐλάσσων δυνάμει, οὐκ ἀνόμοιος δόξῃ, οὐ κεχωρισμένος οὐσίᾳ. Ὁ δὲ αὐτὸς τοῦ ἀϊδίου Πατρὸς μονογενὴς ἀΐδιος ἐτέχθη ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου· ἥτις γέννησις χρονικὴ τῆς θείας Αὐτοῦ καὶ ἀϊδίου γεννήσεως οὔτε τι ἀπεμείωσεν, οὔτε μήν τι ταύτῃ προσέθηκεν, ἀλλ' ὅλην ἑαυτὴν εἰς τὸ σῶσαι τὸν ἄνθρωπον πεπλανημένον ἐκένωσεν, ἵνα καὶ τὸν θάνατον νικήσῃ, καὶ τὸν διάβολον τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου τῇ οἰκείᾳ καταβάλῃ δυνάμει· οὐδὲ γὰρ ἂν ἠδυνήθημεν νικῆσαι τῆς ἁμαρτίας, καὶ τοῦ θανάτου τὸν ἀρχηγόν, εἰ μὴ τὴν ἡμετέραν Αὐτὸς φύσιν ἀνέλαβε, καὶ οἰκείαν εἰργάσατο· ὃν οὔτε ἁμαρτία μολῦναι, οὔτε θάνατος κατασχεῖν ἠδυνήθη. Συνελήφθη μὲν οὖν δηλονότι ἐκ Πνεύματος ἁγίου ἐν γαστρὶ τῆς Παρθένου Μαρίας Μητρός. Ἥτις, οὕτω φυλαχθείσης τῆς Παρθενίας, Αὐτὸν ἀπεκύησεν, ὥσπερ οὖν καί, ἀκεραίου μεινάσης τῆς Παρθενίας, συνέλαβεν . . . Ἀλλ' οὐχ οὕτω νοητέον ἐκείνην τὴν γέννησιν· ἥτις μονογενῶς ἐστι θαυμαστή, καὶ θαυμαστῶς ἐστι μονογενής. Ὥστε διὰ τοῦ καινοπρεποῦς τῆς γεννήσεως, τὴν τοῦ γένους ἐκβάλλεσθαι κυριότητα. Τὸ μὲν γὰρ γόνιμον τῇ Παρθένῳ τὸ ἅγιον Πνεῦμα παρέσχεν· ἡ δὲ τοῦ σώματος ἀλήθεια προσελήφθη ἐκ σώματος· καὶ τῆς Σοφίας οἰκοδομούσης ἑαυτῇ οἶκον, ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, τουτέστιν ἐν τούτῳ τῷ σώματι, ὅπερ ἔλαβεν ἐξ ἀνθρώπου, καὶ ὃ πνεύματι ζωῆς λογικῆς ἐνεψύχωσε. Σωζομένης τοίνυν τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον συνενούσης, ἀνελήφθη ὑπὸ μὲν τῆς Θεότητος ἡ ταπεινότης, ὑπὸ δὲ τῆς δυνάμεως τὸ ἀδύνατον, ὑπὸ τοῦ ἀθανάτου τὸ θνητόν· καὶ πρὸς τὸ χρεωστούμενον ὄφλημα τῆς ἡμετέρας φύσεως ἐκτιθῆναι ἡ θεία φύσις ἡνώθη τῇ φύσει τῇ παθητῇ, ἵνα τοῦτο δὴ τὸ ταῖς ἡμετέραις ἰάσεσιν ὑπάρχον ἁρμόδιον, εἷς καὶ ὁ αὐτὸς ὑπάρχων μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς, καὶ ἀποθνήσκειν ἐκ τοῦ ἑνὸς δυνηθῇ, καὶ τελευτᾶν ἐκ τοῦ ἑτέρου μὴ δυνηθῇ. Ἐν ἀκεραίᾳ τοιγαροῦν ἀληθοῦς ἀνθρώπου καὶ τελείᾳ φύσει Θεὸς ἀληθὴς ἐτέχθη· ὅλος ἐν τοῖς ἑαυτοῦ, καὶ ὅλος ἐν τοῖς ἡμῶν (totus in

suis totus in nostris)· ἡμέτερα δὲ λέγομεν, ἅπερ ἐν ἡμῖν ἐξ ἀρχῆς ὁ Δημιουργὸς ἐναπέθετο, καὶ ἅπερ ἀνακαινιστέα πάλιν ἐδέξατο· ἐκεῖνα γάρ, ἅπερ ὁ ἀπατεὼν ἐπεισήγαγε, καὶ ὁ ἀπατηθεὶς ἄνθρωπος ἥμαρτε, τὸ τυχὸν ἐπὶ τοῦ Σωτῆρος ἴχνος οὐκ ἔσχηκεν. Οὐδὲ ἐπειδὴ κοινωνίαν τῆς ἀνθρωπίνης ὑπεισελήλυθεν ἀσθενείας, διὰ τοῦτο καὶ κοινωνὸς τῶν ἡμετέρων γέγονε ἁμαρτημάτων. Προσέλαβε γὰρ δούλου μορφὴν δίχα ῥύπου τινὸς ἁμαρτήματος· καὶ τὸ ἀνθρώπινον αὔξων καὶ τὸ θεῖον οὐ μειῶν. Ἐπειδή περ ἡ κένωσις ἐκείνη, δι᾽ ἧς ἑαυτὸν ὁ ἀόρατος ὁρατὸν παρεσκεύασε, καὶ ὁ Ποιητὴς καὶ Δεσπότης τῶν ὅλων, εἷς τῶν ἀνθρώπων ἠβουλήθη γενέσθαι, συγκατάβασις ἦν εὐσπλαγχνίας, οὐκ ἀσθένεια τῆς δυνάμεως. Τοιγαροῦν, ὃς μένων ἐν μορφῇ Θεοῦ, πεποίηκε τὸν ἄνθρωπον, αὐτὸς ἐν μορφῇ δούλου γέγονεν ἄνθρωπος· φυλάττει γὰρ ἑκατέρα φύσις ἀνελλιπῶς τὴν ἑαυτῆς ἰδιότητα· καὶ ὥσπερ οὐκ ἀναιρεῖ τὴν τοῦ δούλου μορφὴν ἡ μορφὴ τοῦ Θεοῦ, οὕτω τὴν τοῦ Θεοῦ μορφὴν ἡ τοῦ δούλου μορφὴ οὐκ ἐμείωσεν . . . . . Καὶ προσελήφθη ἐκ τῆς Μητρὸς τοῦ Δεσπότου φύσις, οὐχ ἁμαρτία· οὐ μὴν ἐπειδή περ ἐν τῷ Δεσπότῃ Ἰησοῦ Χριστῷ τῷ τεχθέντι ἐκ τῆς γαστρὸς τῆς Παρθένου θαυμαστή τίς ἐστιν ἡ γέννησις, διὰ τοῦτο ἡμῖν οὐχ ἡ φύσις ὁμοία· ὁ γὰρ ὢν Θεὸς ἀληθής, αὐτός ἐστι καὶ ἄνθρωπος ἀληθής. Καὶ ψεῦδος οὐδὲν ἐν ταύτῃ τῇ ἑνώσει τυγχάνει, ἐν ὅσῳ τὰ συναμφότερα μετ᾽ ἀλλήλων ἐστί· καὶ τοῦ ἀνθρώπου τὸ ταπεινόν, καὶ τῆς Θεότητος τὸ μέγεθος· ὥσπερ γὰρ τῷ ἐλεεῖν ὁ Θεὸς τροπὴν οὐχ᾽ ὑφίσταται, οὕτως ἄνθρωπος τῷ μεγέθει τῆς θείας ἀξίας οὐκ ἀναλίσκεται· ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας, ὅπερ ἴδιον ἔσχηκε, τοῦ μὲν Λόγου κατεργαζομένου τοῦθ᾽ ὅπερ ἐστὶ τοῦ Λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος, ὅπερ ἐστὶ τοῦ σώματος· καὶ τὸ μὲν αὐτῶν διαλάμπει τοῖς θαύμασι, τὸ δὲ ταῖς ὕβρεσιν ὑποπέπτωκε. Καὶ καθάπερ ὁ Λόγος ἀπὸ τῆς ἰσότητος τῆς τοῦ Πατρὸς δόξης ἐστὶν ἀχώριστος, οὕτω τὸ σῶμα τὴν φύσιν τοῦ ἡμετέρου γένους οὐκ ἀπολέλοιπεν. Εἷς γὰρ καὶ ὁ αὐτὸς ἀληθῶς Υἱὸς τοῦ Θεοῦ, καὶ ἀληθῶς Υἱὸς ἀνθρώπου τυγχάνει. Θεὸς μὲν κατὰ τοῦτο, καθ᾽ ὃ ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος· ἄνθρωπος δὲ κατὰ τοῦτο, καθ᾽ ὃ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ Θεὸς μὲν κατὰ

τοῦτο, καθ᾽ ὃ δι᾽ Αὐτοῦ τὰ πάντα ἐγένετο, καὶ χωρὶς Αὐτοῦ ἐγένετο οὐδὲ ἕν· ἄνθρωπος δὲ κατὰ τοῦτο, καθ᾽ ὃ γέγονεν ἐκ γυναικός, γέγονεν ὑπὸ νόμον· καὶ ἡ μὲν τῆς σαρκώσεως γέννησις ἀνθρωπίνης ἐστὶ δήλωσις φύσεως· ὁ δὲ τοκετὸς τῆς Παρθένου μήνυμα τῆς θείας ὑπάρχει δυνάμεως. Καὶ ἡ μὲν νηπιότης τοῦ βρέφους διὰ τῆς τῶν σπαργάνων εὐτελείας ἐπιγινώσκεται· τὸ δὲ μέγεθος τῆς αὐτοῦ μεγαλωσύνης διὰ τῶν ἀγγελικῶν φωνῶν ἀποδείκνυται . . . . . Τὸ μὲν γὰρ πεινῆν καὶ διψῆν, καὶ κοπιᾶν, καὶ ὑπνοῦν, ὁμολογουμένως ἐστὶν ἀνθρώπου, ἀλλὰ τὸ πέντε ἄρτοις πέντε χιλιάδας ἀνθρώπων κορέσαι, καὶ χαρίσασθαι τῇ Σαμαρείτιδι ζῶν ὕδωρ, ὅθεν ἀρυσαμένῃ αὐτῇ ὑπῆρχε τὸ μηκέτι διψῆν· καὶ ἐπὶ μὲν νώτων θαλάσσης περιπατεῖν, τῶν ποδῶν οὐ βαπτιζομένων, τὰς δὲ τῶν κυμάτων οἰδήσεις, ἐπιτιμωμένου τοῦ κλύδωνος, κατευνάζετο, ἐστὶν ἀναμφιβόλως Θεοῦ . . . Διὰ ταύτην τοίνυν τοῦ προσ που τὴν ἕνωσιν, τὴν ἐν ἑκατέρᾳ φύσει νοεῖσθαι ὀφείλουσαν, καὶ Υἱὸν ἀναγινώσκομεν ἀνθρώπου κατεληλυθέναι ἐξ οὐρανοῦ· ὁπότε ὁ Υἱὸς τοῦ Θεοῦ τὸ σῶμα ἐξ αὐτῆς τῆς Παρθένου, ἐξ ἧς ἐτέχθη, προσέλαβε· καὶ πάλιν ὁ Υἱὸς τοῦ Θεοῦ σταυρωθεὶς λέγεται καὶ ταφείς· ὁπότε ταῦτα οὐκ ἐν αὐτῇ τῇ Θεότητι, ἐν ᾗ Μονογενής, καὶ συναΐδιος, καὶ ὁμοούσιός ἐστι τῷ Πατρί, ἀλλ᾽ ἐν τῇ ἀσθενείᾳ τῆς ἀνθρωπίνης ὑπομεμένηκε φύσεως . . . . . Μετὰ δὲ τὴν ἀνάστασιν τοῦ Κυρίου, ἥτις δηλαδὴ τοῦ ἀληθοῦς Αὐτοῦ σώματος γέγονεν, ἐπειδή περ οὐκ ἄλλος ἀνέστη, εἰμὴ ὁ σταυρωθεὶς καὶ ἀποθανών, τί ἕτερον τῇ τῶν τεσσαράκοντα ἡμερῶν Αὐτοῦ διαγωγῇ γέγονεν, ἢ ἵνα ἐκ πάσης ἀχλύος τὰ τῆς πίστεως ἡμῶν καθαρθῇ; Διαλεγόμενος γὰρ τοῖς ἑαυτοῦ μαθηταῖς, καὶ συνδιατρίβων, καὶ συναλιζόμενος, ἀκριβέστερόν τε καὶ πολυπραγμανικώτερον διὰ τῆς ἀφῆς ἑαυτὸν ψηλαφᾶσθαι παρὰ τούτων, οὓς ἔπληττε τὸ ἀμφίβολον, ἐνδιδούς· διὰ τοῦτο καὶ κεκλεισμένων τῶν θυρῶν εἰσῄει πρὸς τοὺς μαθητάς, καὶ τῷ φυσήματι τῷ Ἑαυτοῦ παρεῖχεν ἅγιον Πνεῦμα· καὶ χαριζόμενος τὸ φῶς τὸ τῆς γνώσεως, τῶν θείων Γραφῶν ἀπεκάλυπτε τὰ ἀπόρρητα· καὶ πάλιν ὁ αὐτὸς τὰ τραύματα τῆς πλευρᾶς, καὶ τὰς διατρήσεις τῶν ἥλων, καὶ πάντα τὰ τοῦ νεαροῦ πάθους ἐπεδείκνυ σημεῖα, λέγων· ψηλαφήσατέ με . . . . ὅπως ἂν μεμενηκέναι ἐν αὐτῷ γνωσθῇ ἡ ἰδιότης τῆς τε θείας καὶ τῆς ἀνθρωπίνης φύσεως

ἀδιαίρετος· οὕτω τε μάθωμεν τὸν Λόγον, μὴ τοῦτο εἶναι ὅπερ ἐστὶν ἡ σάρξ, ἀλλ' ἕνα Υἱὸν τοῦ Θεοῦ καὶ τὸν Λόγον ὁμολογήσωμεν, καὶ τὴν σάρκα. . . . . »

Ἐν τῇ ἐπιστολῇ ταύτῃ παρήγαγεν ὁ ρωμαῖος Ποιμὴν οὐκ ὀλίγα χωρία ἐκ τῆς ἁγίας Γραφῆς, ἀλλ' ἄνευ τῆς ἀναγκαίας ἑρμηνείας. Ὡς ἔκθεσις τῶν δοξασιῶν τῆς παραδόσεως καὶ τῆς Ἐκκλησίας περὶ τῆς ἀποκεκαλυμμένης διδασκαλίας ἡ ἐπιστολὴ ἐστὶ πάνυ σπουδαία, καὶ ὡς πρὸς τοῦτο ἠξιώθη τῆς τιμῆς τοῦ ἀναγνωσθῆναι καὶ ἐπιδοκιμασθῆναι ἐν τῇ Οἰκουμενικῇ Συνόδῳ τῆς Χαλκηδόνος. Ἀλλὰ μὴ στηριζομένη ἐπὶ τῶν λόγων τῆς ἁγίας Γραφῆς, μὴ περιφραχθεῖσα δὲ ὑπὸ ἀκριβοῦς ἑρμηνείας τῆς διανοίας τῶν ἐκ τῆς Ἀποκαλύψεως ἀναφερομένων ρητῶν, ὑπέστη, ὡς εἰκός, πολλὰς ἀντιρρήσεις. Ἐντεῦθεν δ' ἐδέησε γράψαι τοὺς διδασκάλους τῆς ὀρθοδοξίας ἀπολογητικὰς εἰς αὐτὴν ἑρμηνείας. Ἐν τῇ πρὸς τὸν Αὐτοκράτορα Λέοντα ἐπιστολῇ καὶ ἐν πολλαῖς ἄλλαις πραγματεύεται ὁ μακάριος Πάπας ἐν ἐκτάσει περὶ τῆς ἑνώσεως τῆς Θεότητος μετὰ τῆς ἀνθρωπότητος ἐν τῷ Χριστῷ Ἰησοῦ [*].

Ὁ ποιμὴν τῆς Δύσεως ἀπεφαίνετο ἐνίοτε περί τινων ὑποθέσεων ἀορίστως καὶ ἄνευ τῆς προσηκούσης ἀκριβείας (¹). Ἄξιαι πάσης προσοχῆς εἰσιν αἱ πράξεις τοῦ ρωμαίου ἐπισκόπου ὡς πρὸς τοὺς Μα-

[*] Ep. 28, 59, 124, 129, 135, 165.

(¹) Ὁ μακ. Λέων οὐχ ἅπαξ λέγει, ὅτι οἱ λόγοι· ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν δηλοῦσιν, ὅτι ἐπὶ τῆς στερεᾶς πίστεως οἰκοδομεῖται ἡ Ἐκκλησία (Op. T. I. p. 12, 13, 19, 461)· ἀλλ' ἔπειτα ἀπαντῶσι παράδοξοι ἐκφράσεις. Si Petrus primus omnium episcoporum· totius Ecclesiæ princeps. p. 13, 19, 21 Ecclesiastici primatus cathedra divinitus sic Petro tradita, ut perpetua sit soliditate fundata. p. 436. Ep. v. c. 2. Ἰδοὺ μαρτυρία περὶ τῆς ἀκριβείας τῶν δοξασιῶν αὐτοῦ. «Ὀφείλουσιν οὕτω κοινωνεῖν τῆς τραπέζης τοῦ Κυρίου, ὥστε μὴ ἀμφιβάλλειν περὶ τῆς αὐτοπαρουσίας τοῦ τιμίου σώματος καὶ αἵματος τοῦ Ἰησοῦ Χριστοῦ ἐν τῷ ἁγιασθέντι ἄρτῳ καὶ οἴνῳ τῆς Εὐχαριστίας». Πάνυ καλῶς! Ἀλλὰ πῶς ἀποδείκνυται τοῦτο; «Ἐκεῖνο γὰρ δέξεσθε τῷ στόματι, εἰς ὃ πιστεύετε». Σαθρὰ βάσις! Τοῦτο ἄγει τὸν ἀκροατὴν εἰς οὐκ ὀρθὰς δοξασίας περὶ τοῦ ἁγίου μυστηρίου. De jejunio sept. mens. Serm. VI. πρβλ. de Passione Serm. XIV.

νιχαίους. Ἐκ τοῦ ὅτι ὁ Ποιμὴν τῆς Ῥώμης ἤλεγξεν ἐν αὐτοῖς τὴν μετάληψιν τῶν ἀχράντων μυστηρίων ὑπὸ μόνον τὸ εἶδος τοῦ σώματος τοῦ Χριστοῦ ὡς ἱερόσυλον ὑπόκρισιν (sacrilegam simulationem) ἀποδείκνυται, ὅτι ἡ ὑπὸ τὸ ἓν εἶδος μετάληψις ἦν τότε ἐν Ῥώμῃ ἄγνωστον πρᾶγμα, ὅπερ ἐπέτρεπον ἑαυτοῖς μόνον οἱ αἱρετικοὶ οὗτοι ([1]).

Οἱ Λόγοι καὶ αἱ Ἐπιστολαὶ τοῦ ἁγίου Λέοντος περιέχουσιν ὡς πρὸς τὴν ἠθικὴν διδασκαλίαν πολλὰ πλείστου ἄξια. Συχνῶς συνεβούλευεν ὁ θεῖος Πατὴρ τῷ ποιμνίῳ αὐτοῦ ποιεῖν ἔργα ἐλέους ([2]). Ἐπήνει τὴν νηστείαν ὡς μέσον πρὸς καταστολὴν τῶν παθῶν, ἀλλ' ἔλεγεν, ὅτι δεῖ ἐπιτελεῖν σύναμα τὰ πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον καθήκοντα ([3]). Λόγον ποιούμενος περὶ τῆς προσευχῆς, συνεβούλευε τοῖς πιστοῖς ἐπικαλεῖσθαι τὴν μεσιτείαν τῶν ἁγίων ([4]), καὶ ἐνετέλλετο αὐτοῖς τιμᾶν καὶ σέβειν τὰ λείψανα καὶ τὰς ἑορτὰς αὐτῶν ([5]).

Οὐκ ὀλίγαι τῶν ἐπιστολῶν αὐτοῦ ἀφορῶσιν εἰς τὴν ἐν τῇ Δύσει ἐκκλησιαστικὴν εὐταξίαν ([6]).

Ὡς πρὸς τὸ Sacramentarium [*] Romanæ Ecclesiæ, τὸ ἀποδιδόμε-

([1]) In Quadrages. Serm. 4. p. 217.

([2]) Βλ. T. I. p. 27, 28, 29, 32, 34, 36, 37, 48, 49, 53, 57, 61, 172, 343.

([3]) Serm. 12-20, 80.

([4]) Serm. 85. c. 4. Serm. 12. c. 4. Ser. 15. c. 6. Serm. 10. c. 3. Ser. 81. c. 4. Serm. 82. c. 7. Serm. 84. c. 1 et 2. Serm. 88. c. 5. Serm. 89. c. 6. Serm. 90. c. 4. Serm. 92. c. 4. Serm. 94. c. 4.

([5]) Serm. 59. Serm. 100. c. 2.

([6]) Περὶ τῶν δικαιωμάτων τῶν Μητροπολιτῶν (Ep. 5, 6, 13, 14, 40, 41, 65, 66.) μετὰ τῆς ἐπιταγῆς τοῦ τηρεῖν τοὺς ἐκκλησ. κανόνας (Ep. 1, 4-6, 17, 19), συναθροίζεσθαι κατ' ἔτος ἐν ἐπαρχ. συν. (Ep. 16, 6, 13, 14, 15). Τῷ κλήρῳ ἀπαγορεύεται ἐμπορεύεσθαι (Ep. 4), μεταβαίνειν ἀπὸ τόπου εἰς τόπον ἄνευ τῆς θελήσεως τοῦ Ἐπισκόπου (Ep. 1, 2, 13, 14). Κανόν. περὶ μετάν. (Ep. 16, 139, 166, 167, 168), περὶ γάμου (Ep. 159, 167), περὶ χειροτ. τῶν ἱερέων (Ep. 4-6, 9, 10, 12, 14), περὶ ἐκλογ. τῶν ἐπισκόπων (Ep. 10, 13, 14, 166), περὶ διοικήσ. τῶν ἐκκλ. κτημάτων (Ep. 17, 137).

[*] Βιβλίον περιέχον τὰ τῆς λειτουργίας καὶ τελέσεως τῶν μυστηρίων. Σ. Μ.

νον τῷ Λέοντι, ἀναμφήριστόν ἐστιν, ὅτι πάνυ ὀλίγα μόνον μέρη τοῦ συγγράμματος ἀνήκουσιν εἰς αὐτόν ([1]).

§. 223. Φουλγέντιος ὁ Ρούσπης ἐπίσκοπος· α΄) ἐν τῷ βίῳ.

Φουλγέντιος ὁ Ρούσπης ἐπίσκοπος ([2]), ἦν ἡ τελευταία μαρμαρυγώδης ἀνταύγεια τοῦ μεγάλου λύχνου τοῦ σβεσθέντος ἐν τῷ ἐπιόντι αἰῶνι τῆς Ἐκκλησίας τῆς Ἀφρικῆς ([3]). Ἐγεννήθη [α] τῷ 468, ὅτε οἱ Βάνδαλοι ἦσαν ἤδη κύριοι τῆς Ἀφρικῆς, ἡγουμένου αὐτῶν τοῦ ὠμοῦ Γιζερίχου. Ὁ υἱδοῦς γερουσιαστοῦ τῆς Καρχηδόνος[β] Φουλγέντιος, ἐν λίαν τρυφερᾷ ἡλικίᾳ ὀρφανὸς πατρὸς[γ] γενόμενος, ἐξεπαιδεύθη πάνυ καλῶς τῇ μερίμνῃ τῆς εὐσεβοῦς αὐτοῦ μητρὸς Μαρνάνης ([4]) [δ]. Ὁ βασιλεὺς Οὐνερῖχος κατέστησεν αὐτὸν ἔπαρχον (procuratorem) τῆς Καρχηδόνος· ἀλλ᾽ ἡ ἀνάγνωσις τῶν συγγραμμάτων τοῦ μακαρίου Αὐγουστίνου τηλικαύτην ἐνεποίησεν

([1]) Blanchini cod. sacram. Vet. a S. Leone confectus, Romæ, 1736. Op. S Leonis ed. Ballerin. T. II. p 1-162. Ὁ Ἀναστάσιος λέγει μόνον, ὅτι ὑπὸ τοῦ ἁγίου Λέοντος προσετέθησαν αἱ λέξεις: Sanctum Sacrificium, immaculatam hostiam, καὶ οὐδὲν πλέον. Οὐδαμοῦ λέγεται, ὅτι ὁ ἅγιος Πατὴρ ἔγραψεν ἢ ἐπεθεώρησε λειτουργίαν. Ballerin. praef III-XIII. Κατὰ τὸν Μουρατόριον, τὸ βιβλίον τοῦτο ἐγράφη κατὰ τὸν ε΄ αἰῶνα, ἀλλ᾽ οὐχὶ ὑπὸ τοῦ ἁγ. Λέοντος (Liturg. Rom. vet. dissert. praelim. p. 24).

([2]) S. Fulgentii episc. Ruspensis Vita a quodam discipulo conscripta. Act. SS. T. I. Januarii, p. 32. S.

([3]) Ρούσπη, Ρούσπικα—ρωμ. ἀποικία ἐν τῇ Μικρᾷ Ἀφρικῇ, ἐν τῇ ἐπαρχίᾳ Βυζακηνῇ (Byzacena). Mannert. Geographie.

[α] Ὁ ἱερὸς Φουλγέντιος ἐγεννήθη ἐν Τελέπτῃ πόλει τῆς Βυζακηνῆς. Σ. Μ.

[β] Ὠνομάζετο Γορδιανός, καὶ ἐξώσθη τῆς Καρχηδόνος μεθ᾽ ἁπάντων τῶν εὐγενῶν ὀρθοδόξων ὑπὸ τοῦ ἀρειανοῦ Γιζερίχου. Σ. Μ.

[γ] Ὠνομάζετο Κλαύδιος. Σ. Μ.

([4]) Vita S. Fulgent. c. 1-19.

[δ] Ἡ ἐνάρετος αὐτοῦ μήτηρ παρέδωκεν αὐτὸν τὸ πρῶτον διδασκάλοις τῆς τε ἑλληνικῆς καὶ τῆς λατινικῆς γλώσσης. Ἐν ἀμφοτέραις ταύταις ταῖς γλώσσαις θαυμαστὸν ὅσον προέκοψε· παῖς ἔτι ὢν ἀπεμνημόνευσεν ὁλόκληρον τὸν Ὅμηρον, καὶ μετ᾽ ἄκρας ἀκριβείας καὶ εὐκολίας διελέγετο λατινιστί. Σ. Μ.

αὐτῷ αἴσθησιν [ε], ὥστε καταθέμενος τὸ ἀξίωμα τοῦτο, προσῆλθε τῷ ἐπισκόπῳ Φαύστῳ, ὃν πολλαῖς παρακλήσεσιν ἔπεισε δέξασθαι αὐτὸν ἐν ᾗ κατῴκει μονῇ [ζ]. « Πῶς δύνασαι, εἶπεν αὐτῷ ὁ ἐπίσκοπος, σὺ ὁ ἐν τρυφῇ ἀνατραφεὶς ἀγαπῆσαι τὸν πενιχρὸν ἡμῶν βίον, τὴν τῆς μετανοίας ἐσθῆτα, τὴν νηστείαν καὶ τὴν ἀγρυπνίαν; » « Ἐγὼ μὲν οὐ δύναμαι, ἀπεκρίνατο ὁ νεανίας Φουλγέντιος, ἀλλ' ὁ διδοὺς θέλησιν τῷ μὴ θέλοντι, δύναται δοῦναι καὶ τῷ θέλοντι δύναμιν ». Μετὰ δακρύων παρεκάλει αὐτὸν ἡ μήτηρ ἐπανελθεῖν οἴκαδε, ἀλλ' ἐξ οὐδενὸς τρόπου ἠδυνήθη πεῖσαι αὐτὸν μεταβουλεύσασθαι. Οἱ Ἀρειανοὶ ἐξέωσαν αὐτόν τε καὶ τὸν ἐπίσκοπον τῆς μονῆς. Ἐκ τούτου μετέβη εἰς ἑτέραν ἐγγὺς κειμένην μονήν, ἧς ὁ ἡγούμενος, Φῆλιξ ὀνομαζόμενος, εὖ εἰδὼς τήν τε ἀρετὴν καὶ τὰ ἔξοχα αὐτοῦ πνευματικὰ χαρίσματα, ἔγνω ποιήσασθαι αὐτὸν συνέταιρον ἑαυτῷ, καὶ ἀνέθηκεν αὐτῷ τὴν διδασκαλίαν τῶν ἀδελφῶν. Ἐκβληθεὶς δὲ καὶ ἐντεῦθεν, ἐνέπεσεν ταῖς χερσὶν Ἀρειανοῦ τινος ἱερέως, ὃς ὠμότατα προσηνέχθη αὐτῷ [η]. Ὁ ἀρειανὸς ἐπίσκ. τῆς Καρχηδόνος ἔγνω τιμωρήσασθαι τὸν ἱερέα τοῦτον, ἀνθ' ὧν ἐπεποιήκει τὸν θεῖον ἄνδρα κακῶν, ἀλλ' οὗτος, ἡγούμενος ἑαυτὸν εὐτυχῆ ἐπὶ τῷ παθεῖν ὑπὲρ τοῦ Χριστοῦ, παρεκάλεσε τὸν ἐπίσκοπον συγγνῶναι αὐτῷ. Τελέσας δὲ εὐσεβῆ ὁδοιπορίαν [θ],

[ε] Μεγάλην κατ' ἐξοχὴν ἐνεποίησεν αὐτῷ αἴσθησιν ἡ εἰς τὸν λς' ψαλμὸν ἑρμηνεία τοῦ ἱεροῦ Αὐγουστίνου. Σ. Μ.

[ζ] Ὁ ἐπίσκοπος Φαῦστος ἐξωσθεὶς τοῦ θρόνου αὐτοῦ ὑπὸ τῶν Ἀρειανῶν ἔζη ἐν μονῇ, ἣν αὐτὸς ᾠκοδόμησε. Βλ. Stephani Morcelli Africa Christian. Vol. III. p. 217. Σ. Μ.

[η] Ὁ ἱερὸς ἀνὴρ οὐκ ἐξεβλήθη τῆς μονῆς, ἀλλ' οἰκειοθελῶς κατέλιπεν αὐτὴν ἕνεκα τῶν συχνῶν ἐπιδρομῶν τῶν Μαύρων. Ἐντεῦθεν δὲ μετέβη εἰς Σίκκαν, πόλιν τῆς ἐπαρχίας Καρχηδόνος, ἔνθα ὁ ἀρειανὸς ἱερεύς, περὶ οὗ ὁμιλεῖ ὁ συγγραφεύς, νομίσας, ὅτι ἐστὶν ἐπίσκοπός τις μετημφιεσμένος, ὃς διένεμεν ἐλεημοσύνας τοῖς ὀρθοδόξοις, ἔβαλεν αὐτὸν εἰς φυλακήν, ἐμαστίγωσεν ἀπηνέστατα, ἐξύρησε τὴν κεφαλὴν αὐτοῦ, ἥρπαξε καὶ αὐτὰ τὰ ἐνδύματα αὐτοῦ, καὶ κατόπιν ἀπέπεμψεν οἰκτρῶς ἔχοντα. Σ. Μ.

[θ] Ἐπανελθὼν εἰς τὴν μονὴν αὐτοῦ κατελήφθη ὑπ' ἄκρου πόθου ἀπελθεῖν εἰς Αἴγυπτον, ἵνα ἴδῃ τοὺς ἐκεῖ μοναχούς, ὧν τὴν ἁγιότητα περὶ πλείστου ἐποιεῖτο. Ἐπιβὰς δὲ πλοίου περὶ τὸ 500 ἔτος, ἀφίκετο εἰς Σικελίαν, ἔνθα ὁ ἐπίσκοπος τῶν Συρρα-

ἔκτισεν ἐπὶ ἐρήμου νήσου μονὴν [ι], καὶ προὐχειρίσθη παρὰ τὴν ἑαυτοῦ θέλησιν πρεσβύτερος. Οὐχ ἅπαξ παρεκάλεσαν αὐτὸν ἀναδέξασθαι τὸ ἐπισκοπικὸν ἀξίωμα, ἀλλ᾽ ἠρνεῖτο. Ἀποθανόντος δὲ τοῦ ἐπισκόπου Ρούσπης, οὐκ ἠδυνήθη ἀπορρίψαι τὴν βαρεῖαν κλῆσιν[κ]. Ἐν τῷ ἀξιώματι τοῦ ἐπισκόπου διετέλει ζῶν κατὰ τοὺς κανόνας τῆς αὐστηρᾶς μοναχικῆς πολιτείας μετὰ τῶν ἀδελφῶν, σύναμα δ᾽ ἐκυβέρνα τὴν Ἐκκλησίαν ὡς ζηλωτὴς ποιμήν. Κατὰ τὸν ὑπὸ τοῦ βασιλέως τῶν Βανδάλων Τρασιμόνδου ἐγερθέντα διωγμόν, ἐξωρίσθη εἰς Σαρδηνίαν μετ᾽ ἄλλων ἐπισκόπων [λ], οἳ πάνυ ἐτίμων αὐτόν, καίπερ νεώτερον αὐτῶν ὄντα, καὶ ὁσάκις συνήρχοντο ἐπὶ τὸ αὐτό, ἵν᾽ ὑποβάλωσί τι συζητήσει, ἠρώτων τὴν γνώμην αὐτοῦ, ἣν ἀπεδέχοντο ἀείποτε πάνυ ἀσμένως. Ἡ σύναξις τοσούτων ἁγίων ὁμολογητῶν συνίστη εἶδός τι διαρκοῦς συνόδου, ἧς τὰς ἀποφάσεις ᾔτουν ἁπανταχόθεν. Τῷ Φουλγεντίῳ ἀνετέθη τὸ συντάσσειν τὰς ἀποκρίσεις πρὸς τὰς ἀπευθυνομένας τῇ συνόδῳ ταύτῃ ἐρωτήσεις, καὶ πολλοὶ τῶν ἐπισκόπων παρεκάλουν αὐτὸν συντιθέναι τὰς ποιμαντικὰς ἐπιστολάς, ἃς ἡγοῦντο ἀναγκαῖον πέμπειν ταῖς Ἐκκλησίαις αὐτῶν (¹). Μετὰ

κουσῶν Εὐλάλιος ἔπεισεν αὐτὸν μὴ μεταβῆναι εἰς Αἴγυπτον, εἰπὼν αὐτῷ, ὅτι οἱ πλεῖστοι τῶν ἐκεῖ μοναχῶν ἦσαν αἱρετικοί. Ἐντεῦθεν ἐπανῆλθεν εἰς Ἀφρικήν, ἐπισκεψάμενος ἐν Ρώμῃ τοὺς τάφους τῶν ἁγ. Ἀποστόλων, καὶ ἔκτισεν ἐν Βυζακηνῇ νέαν μονήν, ἥτις ἐγένετο παραυτὰ περίβλεπτος. Σ. Μ.

[ι] Ἐν τῇ μονῇ, ἣν ἔκτισεν ἐπανελθὼν εἰς Ἀφρικὴν ἐκ Ρώμης, οὐ διέτριψεν ἐπὶ πολύ, ἀλλ᾽ ἀπεχώρησεν εἰς νῆσόν τινα, ἔνθα ἔζησεν ἐπὶ πολὺ ἄγνωστος καὶ ὡς ἁπλοῦς μοναχός. Ὁ ἡγούμενος Φῆλιξ μαθὼν τὸν τόπον τῆς ἀποχωρήσεως αὐτοῦ, παρεκάλεσε τὸν ἐπίσκοπον Φαῦστον ἀναγκάσαι αὐτὸν ἐπανελθεῖν εἰς τὴν μονὴν αὐτοῦ. Ἐπανελθὼν δ᾽ ἐκ τῆς ἐν τῇ νήσῳ μονῆς ἐχειροτονήθη ὑπὸ τοῦ Φαύστου πρεσβύτερος. Σ. Μ.

[κ] Ἐπίσκοπος ἐχειροτονήθη κατὰ μὲν τὸν Cave τῷ 507, κατὰ δὲ τὸν Βαρώνιον τῷ 504. Σ. Μ.

[λ] Οἱ μετ᾽ αὐτοῦ ἐκ τῆς Βυζακηνῆς ἐξορισθέντες εἰς τὴν Σαρδηνίαν ἐπίσκοποι ἦσαν πλέον ἑξήκοντα. Σ.Μ.

(¹) Ὑπ᾽ αὐτοῦ ἐγράφη: *Epistola Episcoporum Africanorum*, qui in Sardinia fuerant exules, *ad Joannem et Venerium de gratia Dei et humano arbitrio*. Ὡσαύτως: Epistola S. Fulgentii et aliorum quindecim Episcoporum ad *Petrum Diaconum*, etc., seu, *Liber de Incarnatione et gratia D. N. Jesu Christi*.

δωδεκαετῆ ἐξορίαν μετεπέμψατο αὐτὸν ὁ Τρασιμοῦνδος εἰς Καρχηδόνα, ἵνα ἀκροάσηται τὰς ἀποκρίσεις αὐτοῦ εἰς τὰς περὶ πίστεως σοφιστικὰς ἐρωτήσεις τῶν Ἀρειανῶν. Ταῖς ἑαυτοῦ ἀποκρίσεσιν ἐξέπληξεν ὁ θεῖος ἀνὴρ τὸν Τρασιμοῦνδον, τῇ δὲ πρὸς τοὺς Ἀρειανοὺς πρᾳότητι αὐτοῦ ἐφείλκυσεν ἐφ' ἑαυτὸν τὸ σέβας καὶ αὐτῶν τῶν ἐχθρῶν τῆς πίστεως (1). Ἰδόντες οἱ Ἀρειανοὶ ἐπίσκοποι τὸν ἐπικρεμάμενον αὐτοῖς κίνδυνον παρὰ τοῦ σοφοῦ ποιμένος, ἔπεισαν τὸν Τρασιμοῦνδον ἐξορίσαι αὖθις αὐτὸν εἰς Σαρδηνίαν (2). Μαθητῇ τινι, πικρῶς ἐπὶ τούτῳ κλαίοντι, εἶπεν ὁ ποιμήν: Μὴ λυποῦ, οὐκ ἐπὶ πολὺ ἔσομαι μακρὰν ὑμῶν· ὀψόμεθα πάλιν ἀνθοῦσαν τὴν πίστιν τοῦ Χριστοῦ ἐν ταύτῃ τῇ χώρᾳ, καὶ ἐμοὶ μετ' οὐ πολὺ ἐπιτραπήσεται κηρύσσειν αὐτήν». Πάντα, ἃ προεῖπεν ὁ διορατικὸς ποιμήν, ἐξεβέβηκεν. Ὁ τὸν Τρασιμοῦνδον διαδεξάμενος (τῷ 523) Ἱλδερῖκος κατέπαυσε τὸν διωγμόν. Τὸ ποίμνιον τῆς Ρούσπης προϋπήντησε τὸν ποιμένα αὐτοῦ μετὰ ψαλμῶν καὶ λαμπάδων, ἀναπέμπον αἶνον τῷ Κυρίῳ ἐπὶ τῇ ἐπανόδῳ αὐτοῦ. Διατρίψας μετὰ τοῦτο δέκα ἔτη παρὰ τῷ ποιμνίῳ αὐτοῦ ὁ Φουλγέντιος, ἐξεδήμησε πρὸς Κύριον τῷ 533 σωτηρίῳ ἔτει (3).

§. 224. β'.) Ἐν τοῖς συγγράμμασι.

Τὰ συγγράμματα τοῦ Φουλγεντίου εἰσὶν ὡς ἐπὶ τὸ πλεῖστον πο-

---

(1) Κατὰ τὸν χρόνον τοῦτον ἔγραψε τὸ κατὰ Ἀρειανῶν βιβλίον (Liber contra Arianos), ἐν ᾧ περιέχονται δέκα ἀποκρίσεις εἰς δέκα ἐνστάσεις τῶν αἱρετικῶν τούτων, καὶ τὰ τρία βιβλία πρὸς τὸν βασιλέα Τρασιμοῦνδον (Libri III ad Trasimundum regem Vandalorum).

(2) Κατὰ τὴν δευτέραν ἐξορίαν ἔγραψε τὰ πρὸς Μόνιμον τρία βιβλία (ad Monimum libri tres), καὶ τὰ πρὸς Εὐθύμιον περὶ ἀφέσεως τῶν ἁμαρτιῶν δύο βιβλία (de remissione peccatorum ad Euthymium libri duo).

(3) Vit. S. Fulgentii c. 20-29. Ἡ μνήμη αὐτοῦ τελεῖται ἐν τῇ Δυτικῇ Ἐκκλ. τῇ α' Ἰανουαρίου. [«Vir, λέγει ὁ Cave, erat et eximia doctrina et insigni pietate inter ætatis suæ episcopos facile princeps» (Script. Ecclesiast. Histor. Literaria, T. I. p. 494.) Σ. Μ.].

λεμικὰ ὡς καὶ ἅπας αὐτοῦ ὁ βίος ἦν διηνεκὴς πάλη πρὸς τοὺς ἐχθροὺς τῆς ὀρθοδοξίας, καὶ συνίστανται ἐκ πραγματειῶν, λόγων, καὶ ἐπιστολῶν([1]). Ἄριστα εἰδὼς τὴν ἑλληνικὴν γλῶσσαν, καθάπερ καὶ τὴν λατινικήν([2]), ἠδύνατο εἶναι δεινὸς ἑρμηνευτὴς τῆς ἁγίας Γραφῆς. Εἰ καὶ οὐκ ἔγραψεν ἑρμηνείας εἰς αὐτήν, ὅμως πανταχοῦ, ἔνθα ἀναφέρει χωρία αὐτῆς, καθορᾶται ὅτι ἐγίγνωσκεν ἀκριβέστατα αὐτήν. Ἀναμφηρίστως ἐστὶν ὁ πρῶτος Γραφικὸς δογματιστὴς τῆς λατινικῆς Ἐκκλησίας.

Τὰ δογματικὰ συγγράμματα τοῦ Φουλγεντίου καταπολεμοῦσι κατ' ἐξοχὴν τοὺς Ἀρειανοὺς καὶ τοὺς Πελαγιανούς. Τὸ ἄριστον τῶν κατὰ τῶν Ἀρειανῶν συγγραμμάτων αὐτοῦ εἰσι τὰ τρία βιβλία πρὸς τὸν βασιλέα Τρασιμοῦνδον (ad Trasimundum regem libri III). Ἐν αὐτῷ πραγματεύεται περὶ τοῦ μυστηρίου τοῦ Μεσίτου Χριστοῦ δύο φύσεις ἐν ἑνὶ προσώπῳ ἔχοντος (de mysterio mediatoris Christi duo naturas in una persona retinentis), περὶ τοῦ ἀπείρου τῆς Θεότητος τοῦ Υἱοῦ τοῦ Θεοῦ (de immensitate divinitatis Filii Dei), καὶ περὶ τοῦ μυστηρίου τοῦ Κυριακοῦ Πάθους (de mysterio Dominicæ Passionis). Τὸ κατὰ Ἀρειανῶν βιβλίον (Contra Arianos liber) περιέχει ἀποκρίσεις εἰς δέκα αὐτῶν ἐνστάσεις. Ἐν αὐτῇ τῇ ἀρχῇ λέγει ὁ ἐξαίρετος φιλόλογος περὶ τῆς λέξεως ὁμοούσιος: «Mirum autem est, quod in hoc nomine sonus tantum a quibusdam attenditur, nec dicti intelligentia vestigatur, cumpleraque non sint antiquitus dicta, et pro temporum causarumque opportunitatibus professioni fidei repe-

([1]) Ἐκδόσεις: Opera omnia S. Fulgentii St. Margeant. Paris. 1684. 4. Venet. 1742 in Heptade Praesulum Cristiana ed. Theoph. Rainandus Lugduni 1633 et 1652. Op. *de gratia* ed. Foggini, Romæ, 1759. Οὐ μὴν ἀλλὰ τὰ συγγράμματα τοῦ Φουλγεντίου χρήζουσιν ἔτι αὐστηρᾶς κριτικῆς ἐξετάσεως. Οὕτως ἐκ τῶν 100 λόγων τῶν ἀποδιδομένων αὐτῷ μόλις 10 εἰσὶν γνήσιοι. Τὸ βιβλίον Pro fide catholica adversus Pintam Arianum (βλ. σ. 11) οὐκ ἀνήκει εἰς αὐτόν. Ἐν αὐτῷ ἀπαντᾷ ἡ πολλοὺς αἰῶνας μετὰ τὸν Φουλγέντιον γενομένη δυσσεβὴς προσθήκη Filioque. Ἐντεῦθεν οὐδείς ἐστιν τοσοῦτον εὐήθης, ὥστε μὴ ἐννοῆσαι, ὅτι ἐστὶν ἔργον ξένης χειρός.

([2]) Vita S. Fulgent.

riantur inserta . . . . Cur in nobis in *Homousion* putetur prohibendum non sonum dicti considerare, sed sensum » [λ]. Ἐν τῷ περὶ Τριάδος (de Trinitate) σύγγραμμα πραγματεύεται ὁ ἱερὸς ἀνὴρ περὶ τοῦ πῶς δεῖ ὑπερασπίζειν κατὰ τῶν αἱρετικῶν τὴν περὶ τῆς ἁγίας Τριάδος ὀρθόδοξον διδασκαλίαν. Ἔγγραψε δ' αὐτὸ κατ' αἴτησιν τοῦ Νοταρίου Φήλικος. Ἐν τῷ βιβλίῳ πρὸς Δόνατον περὶ τῆς ὀρθοδόξου πίστεως καὶ διαφόρων πλανῶν τῶν αἱρετικῶν (ad Donatum liber de fide Orthodoxa et diversis erroribus Hæreticorum) ἐκτίθεται διὰ βραχέων μέν, ἀλλὰ πάνυ ἀκριβῶς ἡ περὶ τῆς ἁγίας Τριάδος διδασκαλία τῆς ἁγίας Γραφῆς (¹).

Ἐν τοῖς κατὰ τῶν Πελαγιανῶν συγγράμμασιν ὁ Φουλγέντιος καταδείκνυσιν ὅσον περὶ πολλοῦ ἐποιεῖτο τὴν δόξαν τοῦ Αὐγουστίνου, καὶ σπουδάζει ἐκθεῖναι ἐν αὐτοῖς ὡς οἷόν τε ὀρθῶς τὴν περὶ χάριτος καὶ προορισμοῦ διδασκαλίαν. Τὰ ἀξιολογώτερα δ' αὐτῶν εἰσι:

α'.] Τὰ πρὸς Μόνιμον τρία βιβλία (Libri III ad Monimum[μ]. Ταῦτα ἐγράφησαν πρὸς λύσιν διαφόρων ἀποριῶν τοῦ φίλου αὐτοῦ Μονίμου[ν]. Ἐν τῷ πρώτῳ βιβλίῳ λύεται ἡ ἐρώτησις: Ὁ διττὸς προορισμὸς δείκνυται ὑπὸ τῆς διδασκαλίας τῆς ἁγίας Γραφῆς καὶ

[λ] Τοῦτο λέγει ὁ Φουλγέντιος οὐκ ἐν τῇ ἀρχῇ τοῦ συγγράμματος, ἀλλ' ἐν τῇ ἑβδόμῃ ἀποκρίσει. Σ. Μ.

(¹) Ἐν τοῖς κατὰ Ἀρειανῶν συγγράμμασι τοῦ Φουλγεντίου τάσσονται καὶ τά: Liber ad Victorem contra Sermonem Fastidiosi Ariani καὶ Ep. ad Ferrandum. Ἐν αὐτοῖς πραγματεύεται περὶ τῆς ἁγίας Τριάδος. Ἀναμφήριστον, ὅτι ἀπεκρίνατο τῷ Ἀρειανῷ ἐπισκόπῳ Πίντα, γράψαντι ἀνασκευὴν τῶν πρὸς Τρασιμοῦνδον τριῶν αὐτοῦ βιβλίων· ἀλλὰ τὸ νῦν γνωστὸν σύγγραμμα, τὸ ἐπιγραφόμενον de fide catholica adversus Pintam, οὐκ ἐγράφη ὑπ' αὐτοῦ.

[μ] Τοῦ συγγράμματος τούτου ποιεῖται μνείαν ὁ συγγραφεὺς τοῦ βίου τοῦ Φουλγεντίου, λέγων: «Testimonia quoque praedestinationis et gratiæ differentias cupientem nosse, salubriter disputans docuit». n. 53. Σ. Μ.

[ν] Ὁ Μόνιμος, παρανοῶν τὴν περὶ προορισμοῦ διδασκαλίαν τοῦ μακαρίου Αὐγουστίνου, ἐδόξαζεν, ὅτι κατ' αὐτὴν προορίζει ὁ Θεὸς τοὺς ἀνθρώπους πρός τε τὸ ἀγαθὸν καὶ τὸ κακόν. Ἐντεῦθεν παρεκάλεσε τὸν Φουλγέντιον δηλῶσαι αὐτῷ τὴν περὶ τούτου ἀληθῆ διδασκαλίαν καὶ λῦσαι ἄλλα τινὰ ἀμφίβολα ζητήματα. Σ. Μ.

τῆς τοῦ Αὐγουστίνου[ξ]; Ἀπόκρισις (ἐν κεφ. 7): Οἱ κακοὶ ἄνθρωποι οὐ προωρίσθησαν πρὸς τὸ παρασύρεσθαι ὑπὸ τῶν παθῶν αὐτῶν καὶ πράττειν τὸ κακόν, ἀλλὰ πρὸς τὸ δικαίως πάσχειν παρὰ τὴν θέλησιν αὐτῶν. Τῇ λέξει γὰρ προορισμὸς οὐκ ἐκφράζεται ἄφευκτός τις ἀνάγκη τῆς ἀνθρωπίνης θελήσεως, ἀλλὰ προλέγεται ἡ εὔσπλαγχνος τοῦ μέλλοντος θείου ἔργου αἰωνία διάταξις (*Praedestinationis* nomine non aliqua voluntatis humanæ coactitia necessitas exprimitur, sed misericors et justa futuri operis divini sempiterna dispositio praedicatur). Ἐν τῷ ια' κεφαλαίῳ ἑρμηνεύονται πάνυ ὀρθῶς οἱ λόγοι τοῦ Ἀποστόλου Παύλου: «ὅτι οὓς προέγνω, καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ Υἱοῦ αὐτοῦ. . . . . . » (Ρωμ. η' 29). Περαιτέρω δὲ (ἐν κεφ. κθ' λ') περιγράφεται ἡ περὶ προορισμοῦ διδασκαλία τοῦ Αὐγουστίνου. Ἐν τῷ δευτέρῳ βιβλίῳ λύονται δύο ἐρωτήσεις, ὧν ἡ μὲν πρώτη: ἡ θυσία τῆς Εὐχαριστίας προσφέρεται εἰς δόξαν μόνου τοῦ Πατρός, ὡς ἐδόξαζον οἱ Ἀρειανοί, ἢ εἰς δόξαν τῆς ἁγίας Τριάδος; Ἡ δευτέρα περὶ παρθενίας, Α' Κορινθ. ζ' 25. Τὸ τρίτον βιβλίον περιέχει ἑρμηνείαν τοῦ προλόγου τοῦ κατὰ Ἰωάννην Εὐαγγελίου.

6'.] Τὰ δύο βιβλία περὶ ἀφέσεως τῶν ἁμαρτιῶν πρὸς Εὐθύμιον (de remissione peccatorum ad Euthymium), ὧν ἐν μὲν τῷ πρώτῳ ὁ Πατὴρ εἰς τὴν ἐρώτησιν: Τίνι καὶ ποῦ ἀφίενται αἱ ἁμαρτίαι; ἀποκρίνεται: τῷ ὀρθοδόξῳ καὶ ἐν τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ[ο]· ἐν δὲ τῷ δευτέρῳ εἰς τὴν ἐρώτησιν: πότε ἀφίενται αἱ ἁμαρ-

---

[ξ] Τὸ πρῶτον βιβλίον ἐπιγράφεται: «De duplici praedestinatione Dei, una bonorum ad gloriam, altera malorum ad poenam». τουτέστι «περὶ τοῦ διττοῦ προορισμοῦ τοῦ Θεοῦ, τοῦ μὲν πρὸς δόξαν τῶν ἀγαθῶν, τοῦ δὲ πρὸς ποινὴν τῶν κακῶν». Ἐν τοῖς κεφ. 1-7 ἑρμηνύει ὁ Φουλγέντιος τὸ δύσκολον χωρίον τοῦ Αὐγουστίνου: «de iis, qui ad interitum praedestinati sunt.» τουτ. «περὶ τῶν πρὸς ἀπώλειαν προωρισμένων» (lib. de perfectione justitiæ hominis n. 31). Σ. Μ.

[ο] Περὶ τοῦ ὅτι ἐν μόνῃ τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ δίδοται καὶ λαμβάνεται ἡ ἄφεσις τῶν ἁμαρτιῶν λέγει τάδε: «In sola Ecclesia Catholica datur et accipitur remissio peccatorum, quam ipse sponsus unam dicit essse Columbam suam unam electam suam, quam super petram fundavit, cui claves regni

τίαι; ἀποκρίνεται: ἐν ταύτῃ τῇ ζωῇ. Ἐν ἀμφοτέροις τοῖς βιβλίοις γίγνεται λόγος περὶ τῆς ἰσχύος τῶν ἡμετέρων ἔργων ἐν τῷ ἔργῳ τῆς δικαιώσεως[π]. Οὕτως (ἐν τῷ β' βιβλίῳ, κεφ. 2) λέγει: «nolens Deus aliquem perire, sed omnes in poenitentiam converti».

γ'.] Τὰ τρία βιβλία περὶ τῆς ἀληθείας τοῦ προορισμοῦ καὶ τῆς χάριτος τοῦ Θεοῦ (de veritate praedestinationis et gratiæ Dei). Ἐν τῷ πρώτῳ βιβλίῳ πραγματεύεται ὁ Πατὴρ περὶ τοῦ γενικοῦ προορισμοῦ πρὸς τὴν μακαριότητα καὶ ἀποδείκνυσιν, ὅτι ἡ πρόγνωσις τοῦ Θεοῦ προηγεῖται τοῦ προορισμοῦ Αὐτοῦ. Ἐν τῷ δευτέρῳ πραγματεύεται περὶ τῆς ἀναφορᾶς τῆς χάριτος πρὸς τὸ

---

coelorum dedit, cui etiam potestatem ligandi solvendique concessit. . . . . Ab hac Ecclesia, quæ claves regni coelorum accepit, quiquis foris est, non coeli viam graditur, sed inferni; nec tendit ad aeternae vitæ domum, sed currit ad mortis aeternae supplicium; non solum si remaneat sine baptismo Paganus, sed etiam si in nomine Patris et Filii et Spiritus S. baptisatus perseveret haereticus. Neque enim per baptismi meritum adipiscitur veram vitam, si quis in nomine Patris et Filii et Spiritus S. sive intra Ecclesiam, sive extra Ecclesiam baptizatus, non tamen intra Ecclesiam Catholicam terminarit hanc vitam; nec vivet per Ecclessiastici baptismatis sacramentum, qui non tenuerit Ecclesiasticæ fidei caritatisque consortium» (lib. I. c. 19). Σ. Μ.

[π] Τὴν δικαίωσιν τοῦ ἀνθρώπου περιγράφει ἐν τῷ συγγράμματι τούτῳ καὶ ἐν τῷ περὶ τῆς ἀληθείας τοῦ προορισμοῦ καὶ τῆς χάριτος τοῦ Θεοῦ ὧδε: «Remissio peccatorum non nisi in conversione cordis sortitur effectum, in illis duntaxat, qui propriæ jam voluntatis utentes arbitrio, divini muneris opitulatione convorsi mutatâ in melius vitâ non desistunt ad poscendam remissionem peccatorum currere». «Ut autem fiat quis justus ex impio, amicus Dei ex inimico, absolutus ex reo, nemo justificatione invenitur dignus, sed gratuita bonitate justificatur indignus; nec de potestate tenebrarum eripitur et in regnum filii dilectionis Dei tranfertur, nisi quem Dominus gratuito gloriæ dignatus fuerit munere praevenire, qui gratis salvat et juste condemnat». (de remiss. peccat. l. I. c. 13. De ver. praed. et gr. Dei l. I. n. 13). Σ.Μ.

αὐτεξούσιον τοῦ ἀνθρώπου, καὶ διδάσκει, ὅτι ὁ προορισμὸς οὐ κωλ ει τὴν ἐλευθερίαν τοῦ ἀνθρώπου. Ἐν τῷ τρίτῳ πραγματεύεται περὶ τοῦ προορισμοῦ πρὸς τὴν αἰώνιον ζωήν, καὶ σύναμα πρ ς τὴν χάριν τῆς δικαιώσεως καὶ πρὸς τὰς ἀγαθὰς πράξεις(¹).

Ἔν τισι τῶν συγγραμμάτων αὐτοῦ ὁ Φουλγέντιος ἔχει ὑπ' ὄψει οὐ μόνον τοὺς Ἀρειανοὺς καὶ τοὺς Πελαγιανούς, ἀλλὰ καὶ ἄλλας συγχρόνους ἔριδας. Τοιαῦτα: α') τὸ περὶ πίστεως, ἢ περὶ τοῦ κανόνος τῆς ἀληθοῦς πίστεως πρὸς Πέτρον βιβλίον (de fide, seu de regula veræ fidei, ad Petrum, liber unus), ἐν ᾧ ἐκτίθεται ἡ περὶ πίστεως διδασκαλία τῆς ὀρθοδόξου Ἐκκλησίας πρὸς προφύλαξιν ὀρθοδόξου τινός, Πέτρου καλουμένου[ρ] ἀπὸ τῶν σκανδάλων τῆς πίστεως κατὰ τὴν εἰς Ἱεροσόλυμα ὁδοιπορίαν. Αἱ διδόμεναι αὐτῷ παραινέσεις ἀναφέρονται ἰδίως εἰς τὴν περὶ ἐνανθρωπήσεως διδασκαλίαν. Ἐν τῷ συγγράμματι τούτῳ πραγματεύεται ὁ Πατὴρ περὶ τῆς ἁγίας Τριάδος καὶ τῆς θείας ἐνανθρωπήσεως (c. 1-24), περὶ τῆς δημιουργίας τῶν ἀγγέλων καὶ τῶν ἀνθρώπων (c. 25-30), περὶ τῆς πτώσεως τοῦ ἀνθρώπου καὶ τῆς ἐπανορθώσεως αὐτοῦ (c. 31-44), καὶ ἔπειτα ἐκτίθησι τὰ κύρια ἄρθρα τῆς πίστεως (c. 45-84). β') Τὸ βιβλίον περὶ τῆς Ἐνσαρκώσεως τοῦ Χριστοῦ καὶ περὶ τῆς γεννήσεως τῶν εὐτελῶν καὶ βλαβερῶν ζώων πρὸς Σκαρίλαν (de Incarnatione Christi, et de vilium et noxiorum animalium procreatione, liber ad Scarilam). γ') Εἰς τὴν περὶ Ἐνανθρωπήσεως διδασκαλίαν ἀναφέρεται ἡ πρὸς τὸν κόμητα Ῥηγῖνον (ad Reginum Comitem) ἐπιστολή, περιέχουσα ἀπόκρισιν εἰς τὴν ἐρώτησιν: πότερον φθαρτὴ ἢ ἄφθαρτος γέγονεν ἡ σὰρξ τοῦ Χριστοῦ;

(¹) Πρβλ. Ep. *ad Petrum* diaconum etc. ἔνθα ἐκτίθησι τὴν περὶ τῆς πτώσεως τοῦ ἀνθρώπου καὶ τῆς χάριτος τοῦ Θεοῦ διδασκαλίαν.

[ρ] Ὁ Πέτρος οὗτός ἐστι διάφορος τοῦ διακόνου Πέτρου, ᾧ ἐπιγράφεται τὸ περὶ Ἐνσαρκώσεως καὶ χάριτος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ βιβλίον (De Incarnatione et gracia Domini nostri Jesu Christi ad P. Diaconum liber), ἢ ἡ ις' ἐπιστολή, διότι οὔτε ἀδελφόν, οὔτε συνδιάκονον καλεῖ αὐτόν, ᾧ ὀνόματι φιλεῖ καλεῖν τοὺς πρεσβυτέρους, ἢ τοὺς διακόνους, ὡς γίγνεται δῆλον ἐκ τῶν ἐπ. 5, 12, 14, καὶ 17. Σ.Μ.

Ἡ ὑπόθεσις τῶν πλείστων τῶν ἐπιστολῶν καί τινων λόγων τοῦ μακαρίου Φουλγεντίου ἐστὶν ἠθική. Ἐν τῇ ἐπιστολῇ πρός τινα νέον, οὗ ἡ γυνὴ ἐν καιρῷ ἀσθενείας ηὔξατο τῷ Θεῷ ἁγνεύσειν, γράφει, ὅτι ἡ εὐχὴ ὤφειλε γενέσθαι τῇ ἀμοιβαίᾳ συμφωνίᾳ ἀμφοτέρων τῶν συζύγων. Ἐν τῇ πρὸς τὴν χήραν Γάλλαν (ad Gallam viduam), εὐγενῆ Ρωμαίαν, παραμυθεῖται αὐτὴν ἐπὶ τῷ θανάτῳ τοῦ συζύγου, καὶ ἐκτίθησιν αὐτῇ τὰς ἀρετάς, αἷς ὀφείλει κοσμεῖσθαι ἡ χριστιανὴ χήρα. Ἡ ἐπιστολὴ ἡ πρὸς Πρόβαν (ad Probam), ἀδελφὴν τῆς Γάλλης, περιέχει ἐξαίρετον διδασκαλίαν περὶ παρθενίας καὶ ταπεινοφροσύνης. Ἐν ἑτέρᾳ πρὸς τὴν αὐτὴν Πρόβαν ἐπιστολῇ πραγματεύεται ἄριστα ὁ μακάριος Πατὴρ περὶ τῆς πρὸς τὸν Θεὸν προσευχῆς καὶ περὶ τῆς συντριβῆς τῆς καρδίας. Ἐν τῇ πρὸς Βεναντίαν (ad Venantiam), ἐπιφανῆ γυναῖκα, ἐπιστολῇ πραγματεύεται περὶ τῆς ἀληθοῦς μετανοίας καὶ περὶ τῆς μελλούσης ἀνταποδόσεως. Ἐν τῇ ἐπιστολῇ πρὸς τὸν Ὕπατον Θεόδωρον (ad Theodorum Consulem), δείκνυσιν ὅτι πολλῆς ὠφελείας πρόξενα γίγνονται τοῖς πιστοῖς τὰ καλὰ παραδείγματα τῶν μεγάλων ἀνδρῶν, καὶ ὅτι ἐν τῇ ταπεινοφροσύνῃ ἔγκειται τὸ μεγαλεῖον τοῦ χριστιανοῦ. Ἐν τῇ πρὸς τὸν ἀββᾶν Εὐγύππιον (ad Eugyppium abbatem) ἐπιστολῇ διαγράφει τὰς ὑψηλὰς ἰδιότητας τῆς χριστιανικῆς ἀγάπης (1).

§. 225. Βενέδικτος ὁ ἐκ Νορσίας.

Πατριάρχης τῆς μοναδικῆς πολιτείας ἐν τῇ Δύσει θεωρεῖται ὁ ἅγ. Βενέδικτος γεννηθεὶς ἐν Νορσίᾳ (Norcia). Οἱ ἐκ τοῦ οἴκου τῶν Ἀνικίων (Aniciorum) εὐγενεῖς αὐτοῦ γονεῖς ἔπεμψαν αὐτόν, δεκατέσσαρα ἔτη γεγονότα, εἰς Ρώμην πρὸς κρείττονα ἐκπαίδευσιν. Ἀλλὰ τηλικαύτην ἐνεποίησεν αὐτῷ πρὸς τὸν κόσμον ἀποστροφὴν ὁ διεφθαρμένος βίος τῶν τε διδασκάλων καὶ τῶν μαθητῶν, ὥστε ἔγνω καταλιπεῖν τὴν πόλιν ταύτην καὶ μεταβῆναι (τῷ 494) εἰς τόπον τινα Σούλβακον (Soublacum) καλούμενον, ἔνθα ἐκρύβη ἐν σπηλαίῳ, ἐν ᾧ διῆλθε τρία ἔτη δεινὴν πάλην παλαίων πρὸς τὰ πάθη καὶ τὸ πνεῦμα τῆς πονηρίας [α]. Ὁ

(1) Περὶ τῆς πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον ἀγάπης πραγματεύεται ἐν τῷ Ε΄ αὐτοῦ λόγῳ.

[α] Καταλιπὼν τὴν Ρώμην ὁ ἅγιος

ἐνὶ μόνον ἀναχωρητῇ, Ρωμανῷ ὀνομαζομένῳ [β], γνωστός, ὑπό τινος δ' ἱερέως ἐξ ἀποκαλύψεως καὶ ποιμένων τινῶν ἐκ τύχης ἀνακαλυφθεὶς ὅσιος, ἐφειλκύσατο τὴν προσοχὴν πολλῶν, ἰδίως ὅτε ἠξιώθη τῆς δωρεᾶς τοῦ θαυματουργεῖν. Μοναστήριόν τι, ἐγγὺς τοῦ σπηλαίου αὐτοῦ κείμενον, προσεκάλεσεν αὐτὸν εἰς τὸ τοῦ ἡγουμένου ἀξίωμα. ἀλλ' ἡ αὐστηρότης τοῦ ἁγίου ἐφάνη τοσοῦτον βαρεῖα τοῖς μοναχοῖς, ὥστε ἠβουλήθησαν δηλητηριάσαι αὐτόν [γ]. Ἐντεῦθεν δ' ἐπανῆλ-

---

Βενέδικτος, μετέβη εἰς τὴν ἔρημον Ἐνφεῖδε (Enfide), ἐκεῖθεν δ' εἰς Σούλβακον. «Οὗτος, λέγει ὁ Π. Γρηγόριος ὁ Μέγας, ὁ πολὺς ἐν ἀρεταῖς διαλάμψας πατὴρ Βενέδικτος, ὡς ἤδη καταλείψας τὴν τοῦ βίου ματαιότητα, ἐπιθυμίαν θεάρεστον εἰσδέχεται τῇ ψυχῇ οἰκῆσαι τὴν ἔρημον. Ἡ δὲ τούτου τροφός, ἥτις αὐτὸν θερμῶς ἠγάπα μόνη τῷ ἱερῷ τούτῳ ἠκολούθησε νεανίᾳ. Ὁπόταν δὲ τὸν τόπον κατέλαβον, τὸν ἐπιχωρίως ὀνομαζόμενον Ἐνφεῖδε, πολλοὶ εὐλαβέστατοι ἄνδρες, τῇ πρὸς αὐτὸν πνευματικῇ ἀγάπῃ ἑλκόμενοι, ἐκεῖσε παραγενόμενοι, ἐν τῷ τοῦ ἁγίου Πέτρου ναῷ σὺν αὐτῷ διέτριβον . . . . . Ἀλλ' ὁ φιλόθεός τε καὶ μισόδοξος Βενέδικτος, πλειόνως τοῖς σωματικοῖς ἑαυτὸν ἐπεδίδου κόποις, βέλτιον εἶναι λογισάμενος τούτοις ἐντρυφᾶν, ἤπερ τοῖς ἀνθρωπίνοις πόνοις ἐπαίρεσθαι. Εἶτα τὴν ἰδίαν λάθρα καταλιπὼν τροφόν, ἐν τοῖς τῆς ἐρημίας τόποις σχολάζειν ᾑρετίσατο· καὶ καταλαβὼν τόπον τινά, ὃν ἐπιχωρίως ὀνομάζουσι Λάκκον, ὃς ἀπὸ τεσσαράκοντα μιλίων τῆς τῶν Ρωμαίων διάκειται πόλεως, ἐν ᾧ πληθὺς ὑδάτων ἀναβλύζειν εἴωθε . . . . . . » (Dialog. lib. II. c. I.) Σ. Μ.

[β] « . . . Ὅστις Ρωμανός, λέγει ὁ ἅγιος Γρηγόριος, οὐ μήκοθεν ἐν μοναστηρίῳ ὑπὸ τὸν τοῦ Ἀδεωδάτου πατρὸς κανόνα διῆγεν· ἀλλ' εὐσεβῶς ὁ αὐτὸς τοῦ οἰκείου Ἀββᾶ τὴν ὄψιν ὑπέκλεπτε, τῇ ὥρᾳ τῆς ἑστιάσεως, καὶ διὰ ῥητῶν τινων ἡμερῶν τῷ τοῦ Θεοῦ ἀνθρώπῳ Βενεδίκτῳ ἄρτον ἐκόμιζεν· ἐκ δὲ τοῦ μοναστηρίου Ρωμανοῦ ὁδὸς οὐχ ὑπῆρχε φέρουσα ἐν τῷ τοῦ ὁσίου σπηλαίῳ, διότι ὑψηλότατος ὑπὲρ ἄνωθεν κρημνὸς ὑπῆρχεν, ἀλλ' ἐκ τοῦ αὐτοῦ κρημνοῦ ἐν μακροτάτῳ σχοινίῳ ὁ Ρωμανὸς κατάγειν αὐτῷ τὸν ἄρτον εἴθιστο. Ἐν ᾧ σχοινίῳ σεμνὸν κώδωνα ἔθετο, δι' αὐτοῦ σημαίνων τῷ ἁγίῳ τὴν αὐτοῦ παρουσίαν καὶ τὴν τοῦ ἄρτου παροχήν. . . » (Dialog. lib. II. c. I.) Ὁ Ρωμανός, ἐξ Ἰταλίας εἰς Γαλλίαν ἀφικόμενος, ἐγένετο ἡγούμενος μοναστηρίου τινὸς παρὰ τὸ Ἀλτιόδωρον (Auxerre) κειμένου, ἔνθα καὶ ἐτελεύτησε. Σ. Μ.

[γ] «Ὡς ἐθεάσαντο (οἱ μοναχοί), λέγει ὁ ἅγιος Γρηγόριος, τὴν τοῦ ὁ-

θεν εἰς τὸ σπήλαιον αὐτοῦ. Οἱ πρὸς αὐτὸν συρρέοντες, σωτηρίας διψῶντες, ταχέως οὐ πόρρω αὐτοῦ δώδεκα μοναστήρια τῇ τοῦ Χριστοῦ δυνάμει συνεστήσαντο, ἐν ἑκάστῳ δὲ τούτων ὁ Βενέδικτος ὥρισε δώδεκα μοναχούς. Τῷ 528 ἠνάγκασεν αὐτὸν ἡ κακία ἀποστῆναι καὶ ἐντεῦθεν. Ἐν Καμπανίᾳ ἐπὶ τοῦ ὄρους Κασσίνου εἰσελθὼν εἰς ἐθνικὸν ναὸν ὁ τὸν νοῦν πεφωτισμένος καὶ τῆς εὐσεβείας ἄκρος ζηλωτὴς συνέτριψε τὸ ἐκεῖ ἄγαλμα τοῦ Ἀπόλλωνος, κατέστρεψε τοὺς βωμούς, ἐνέπρησε τὰ ἄλση καὶ ἐν αὐτῷ τῷ ναῷ τοῦ Ἀπόλλωνος εὐκτήριον ἡγιασμένον τοῦ ἁγίου Μαρτίνου ἀνήγειρεν. Ἔνθα δὲ ὁ βωμὸς τοῦ Ἀπόλλωνος ἵδρυτο εὐκτήριον ἡγιασμένον τοῦ Ἰωάννου συνεστήσατο. « Ἐντεῦθεν λοιπόν, λέγει Γρηγόριος ὁ Μέγας, τὸ ἐκεῖ κατοικοῦν τοῦ λαοῦ πλῆθος, τῇ αὐτοῦ διδασκαλίᾳ ὁδηγούμενον, πρὸς Θεὸν ἐπεστρέφετο» (Dialogor. lib. II. c. 8). Τῷ 531 προσεκλήθη ὑπὸ τοῦ

σίου ἁγιότητά τε καὶ ἀκριβεστάτην ἄσκησιν, μὴ συνᾴδουσαν τῇ ἑαυτῶν πονηρίᾳ, ἤρξαντο ἑαυτοῖς διαμάχεσθαι καὶ μεταμελεῖσθαι, ὅτι τοιοῦτον ἑαυτοῖς ἀκριβέστατον καὶ ἀσκητικώτατον ἄνδρα Ἡγούμενον ἐξητήσαντο· ἐκείνων μὲν οὖν ἡ στρεβλότης τῷ τοῦ μακαρίου διεμάχετο νόμῳ. Τοῖς σκολιοῖς γὰρ ἤθεσι βδελυκτὴ ὑπάρχει ἡ τῶν δικαίων πολιτεία. Γνόντες οὖν οἱ στασιώδεις ἐκεῖνοι, ὅτι ἡ αὐτῶν φιλοτάραχος γνώμη κατὰ τὸ αὐτοῖς δοκοῦν οὐκ ἐτελέσθη, φάρμακόν τι θανάσιμον οἴνῳ συμμίξαντες, ἐν ποτηρίῳ τε ὑελίνῳ βαλόντες, ἀνακειμένῳ τῷ Πατρὶ κατὰ τὸ σύνηθες ἐν τῇ τῆς ἑστιάσεως ὥρᾳ, τὸ τοιοῦτον θανατηφόρον ποτὸν ἐπιδοῦναι τῷ ἁγίῳ ἐτόλμησαν. Ὁ δὲ σημειοφόρος καὶ μέγας πατὴρ Βενέδικτος ἐκτείνας τὴν χεῖρα, τὸ σημεῖον τοῦ ζωοποιοῦ Σταυροῦ πεποίηκε· καὶ παραυτίκα τὸ σκεῦος διαρραγὲν πέπτωκεν ἐπὶ τῆς γῆς. Οὕτω δὲ συνετρίβη τῇ τοῦ τιμίου καὶ πανσέπτου σταυροῦ δυνάμει, ὡς νομίζειν τοὺς θεασαμένους λίθῳ τὸ ὀλέθριον ἐκεῖνο συνθλασθῆναι ποτήριον. Ἔγνω οὖν ὁ τοῦ Θεοῦ ἄνθρωπος, ὅτι τὸ ποτὸν θανάσιμον ἦν, ὅπερ ὑπενέγκαι οὐκ ἠδυνήθη, πεποιηκότος τοῦ Ἁγίου τὸ σημεῖον τῆς ζωῆς ἡμῶν. Εὐθέως οὖν ἀναστὰς ἱλαρῷ τῷ προσώπῳ καὶ γαληνῷ τῷ λογισμῷ προσκαλεσάμενος τοὺς ἀδελφοὺς εἶπε πρὸς αὐτούς· ἐλεήσαι ἡμᾶς, τέκνα, ὁ παντοδύναμος Θεός, διατί ἐν ἐμοὶ ποιῆσαι ταῦτα ἠθελήσατε; οὐχὶ πρώην εἶπον ἡμῖν, ὅτι οἱ ὑμέτεροι τρόποι τοῖς ἐμοῖς ἤθεσιν οὐ συνέρχονται; Ἀπέλθετε, καὶ κατὰ τὰ ἤθη ὑμῶν πατέρα ἑαυτοῖς ἐκζητήσατε. Ἐγὼ γὰρ μεθ' ὑμῶν εἶναι οὐ δύναμαι». (Dialog. lib. II. c. 3). Σ. Μ.

Πάπα Βονιφατίου τοῦ Β΄. εἰς τὴν ἐν Ῥώμῃ συγκροτηθεῖσαν σύνοδον. Ὁ Τοτίλας, διερχόμενος τὴν Καμπανίαν, ἐπεθύμησεν ἰδεῖν αὐτόν. Ὁ ὅσιος μετὰ παρρησίας ἤλεγξεν αὐτόν, καὶ ὥρισε τὸ ἔτος τοῦ θανάτου ἐκείνου. (δ) Τοῦτο συνέβη τῷ 541 σωτηρίῳ ἔτει, τῷ δὲ 543 ἀνεπαύσατο ἁγίως καὶ αὐτὸς ὁ ὅσιος πατήρ (¹).

(δ) α 'Εν τοῖς τῶν Γότθων καιροῖς, λέγει ὁ ἅγ. Γρηγόριος, ὁ τούτων βασιλεὺς Τοτίλας τοὔνομα, ἀκηκοὼς τὰ τοῦ ἁγίου κατορθώματα, καὶ ὅτι πνευματικοῦ χαρίσματος ἀνάπλεως τυγχάνει, ἐπὶ τὸ μοναστήριον ὥρμησεν ἐλθεῖν . Καὶ δὴ μήκοθεν τοῦ μοναστηρίου στάς, τὴν ἑαυτοῦ παρουσίαν τῷ μακαρίῳ ἐμήνυσεν· ὁ δὲ ἅγιος ἐπέτρεψεν τοῦ παραγενέσθαι αὐτὸν πρὸς αὐτόν. Ἐκεῖνος δὲ λογισάμενος ἐν ἑαυτῷ ἀδύνατον εἶναι φθαρτὸν ἄνθρωπον ὄντα προφητικῆς χάριτος μετασχεῖν, τοῦτον πειρᾶσαι ἐτόλμησεν. Ἕνα δέ τινα τῶν αὐτοῦ σπαθαρίων, Ῥίγγωνα λεγόμενον, ἠμφίασε τοῖς ἑαυτοῦ ἱματίοις, καὶ τοῖς ὑποδήμασιν ὑπέδησε. Καὶ τοῦτον ἐν τῷ ἑαυτοῦ ὀνόματι πορευθῆναι πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ ἐκέλευσεν, ὡς δῆθεν πειράζων αὐτόν, παρασχόμενος αὐτῷ δορυφόρους πλείονας . . . Ὡς δὲ τὸ μοναστήριον κατέλαβε ὑπὸ τῆς τῶν στρατιωτῶν τε καὶ ἀξιωματικῶν δορυφορούμενος τάξεως, συνέβη τὸν ἅγιον ἔν τινι ὑψηλῷ τόπῳ καθήμενον θεωρεῖν τοῦτον ἐρχόμενον. Καὶ ἀπὸ διαστήματος ὄντος αὐτοῦ, ἐξ οὗπερ ἡ τοῦ ἁγίου φωνὴ ἠδύνατο παρ' ἐκείνου ἀκουσθῆναι, ἔκραξεν ὁ ἅγιος, λέγων· ἀπόθου, τέκνον, ἀπόθου τοῦτο, ὅπερ ἐνδέδυσαι, οὐκ ἔστι γὰρ σόν... Τότε δι' ἑαυτοῦ ὁ αὐτὸς βασιλεὺς Τοτίλας πρὸς τὸν τοῦ Θεοῦ ἄνθρωπον παραγέγονεν, ὃν ἡνίκα μήκοθεν καθεζόμενον ἐθεάσατο, οὐδαμῶς ἐτόλμησε προσεγγίσαι αὐτῷ ἀλλ' ἑαυτὸν ἐπὶ τῆς γῆς ῥίψας, ἐδέετο τῆς παρὰ τοῦ θεοῦ τυχεῖν συγχωρήσεως. Ὁ δὲ τοῦ Θεοῦ θεράπων τοῦτον δὶς καὶ τρὶς προσφωνήσας ἀναστῆναι, καὶ θεασάμενος τῷ φόβῳ αὐτῶν συσχεθέντα μὴ ἀνιστάμενον, Βενέδικτος ὁ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ οἰκέτης δι' ἑαυτοῦ ἀναστῆσαι τὸν ῥηθέντα βασιλέα Τοτίλαν κατηξίωσε, καὶ τοῦτον περὶ τῶν ἑαυτοῦ διήλεγξε πράξεων. Καὶ ἐν ὀλίγοις ῥήμασι πάντα τὰ μέλλοντα αὐτῷ συμβεβηκέναι προεμύνησε, λέγων. Πολλὰ κακὰ ἐποίησας καὶ ποιεῖς, λοιπὸν ἀπόστηθι τῆς ἀνομίας καὶ μετανόησον κἂν ὀψέποτε Καὶ γὰρ εἰς Ῥώμην μέλλεις εἰσιέναι, καὶ θάλασσαν περάσαι ἔχεις, ἐννέα ἔτη βασιλεύσεις, τῷ δεκάτῳ δὲ ἔτει τελευτήσεις. Ταῦτα ἀκούσας ὁ τῶν Γότθων βασιλεύς, καὶ τῇ ἀπροσδοκήτῳ τοῦ μακαρίου προφητείᾳ ἔκθαμβος γενόμενος, ἔρριψεν ἑαυτὸν ἐπὶ τὴν γῆν, καὶ εὐχὴν αἰτήσας, ἀνεχώρησε τῆς Μονῆς. Καὶ ἀπὸ τότε τῆς ἑαυτοῦ ὠμότητός τε καὶ ἀπανθρωπίας μετεποιήθη διὰ τῆς τοῦ ὁσίου διδασκαλίας καὶ ἐπωφελοῦς παραινέσεως ...» (Dialogor. lib. II. c. 15. 16). Σ. Μ.

(¹) Τὸν βίον τοῦ ἁγίου Βενεδί-

Ὁ ἅγιος Βενέδικτος κατέλειπε τοῖς ὑπ' αὐτοῦ ἱδρυθεῖσι μοναστηρίοις κανόνα (regulam) [1], ᾧ ἠκολούθησαν καὶ ἔτι ἀκολουθοῦσι τὰ ἐν τῇ Δύσει πολυάριθμα μοναστήρια τῶν Βενεδικτινῶν. Ὁ κανὼν οὗτος δείκνυσιν, ὅτι ὁ ὅσιος Πατὴρ εἶχεν ὑπ' ὄψει κατὰ τὴν σύνταξιν αὐτοῦ τοὺς κανόνας τῆς πολιτείας τῶν ἐν τῇ Ἀνατολῇ ἐρημιτῶν, καὶ ἰδίως, τὰς διατάξεις (de institutis coenobiorum) τοῦ ἁγίου Κασσιανοῦ. Ἐγράφη δ' οὕτως, ὥστε δύνασθαι τοὺς ἐν τῇ Δύσει μοναχοὺς ἀποδέξασθαι αὐτόν. Οὐκ ἔστι τοσοῦτον αὐστηρός, ὅσον οἱ κανόνες τῶν ἐν τῇ Ἀνατολῇ ἀσκητῶν. Ἐντέλλεται ἀπάρνησιν πάσης περιουσίας, ὑπακοὴν τῷ Ἡγουμένῳ καὶ διηνεκῆ ἐργασίαν! Μετὰ τὰς ὥρας τῆς προσευχῆς ὁρίζει ἀσχολεῖσθαι περὶ ἐργόχειρα πρὸς πορισμὸν τῶν πρὸς τὸ ζῆν ἀναγκαίων. Τοῖς πρεσβυτέροις τῶν μοναχῶν ἀνατίθησι τὴν ἀντιγραφὴν χειρογράφων (ordo scriptorius) καὶ τὴν διδασκαλίαν τῶν παίδων. Ἡ ἐντολὴ αὕτη προὐξένησεν ἐν τοῖς μετὰ ταῦτα αἰῶσι πλείστην ὅσην ὠφέλειαν τῇ Ἐκκλησίᾳ, διότι οἱ Βενεδικτινοὶ διέσωσαν κατὰ τοὺς χρόνους τῆς ἀμαθείας ἐκ τῆς καταστροφῆς πάνυ πολλὰ μνημεῖα τῆς πίστεως, καὶ ἐν τοῖς ἐσχάτοις χρόνοις ἠσχολήθησαν, εἴ πέρ τινες καὶ ἄλλοι, περὶ τὴν ἔκδοσιν τῶν

κτου περιέγραψεν ὁ ἅγιος Γρηγόριος ὁ Διάλογος ἐκ τῶν λόγων, ὥς φησί, τῶν μαθητῶν αὐτοῦ Κωνσταντίνου, Βαλεντίνου, Σιμπληκίου καὶ Ὀνωράτου (Lib. II. Dialogor. de vita et miraculis S. Benedicti). Ὁ Βενέδικτος ἦν γνωστὸς τῇ ἑλληνικῇ Ἐκκλησίᾳ ἐκ τῆς ὑπὸ τοῦ τὸ γένος καὶ τὴν φωνὴν Ἕλληνος, Πάπα Ζαχαρίου εἰς τὴν ἑλλην. γλῶσσαν γενομένης τῷ 752 μεταφράσεως τοῦ βίου τούτου. Συμπληρώσεις. *Leon. Ostiens.* Hist. lib. *Ant. Scip.*,-Elogia Abbatum Cassientium. Mabilon. Act. ss. Ordin. S. Benedicti saec. I Annal. Ord. s. Bened. T. I. lib. 1-5. Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ιδ'. Μαρτίου.

[1] Ὁ κανὼν τοῦ ἁγίου Βενεδίκτου (Regula s. Benedicti) ἐξεδόθη μέχρι τοῦ 1595 πλέον ἢ ἑκατοντάκις. Τῷ 1575 ἐξεδόθη ἐν Κολωνίᾳ μετὰ τῶν ὑπομνημάτων τοῦ Σμαράγδου καὶ τοῦ Τουρρεκρεμάτου, καὶ εὕρηται in Holstenii Codice regularum, Paris. 1673. Τὸ σοφὸν ὑπόμνημα τοῦ Οὔγωνος Μενάρδου (Hugonis Merrardi) εὕρηται ἐν τῇ ὑπ' αὐτοῦ γενομένῃ ἐκδόσει τοῦ κανόνος τοῦ Βενεδίκτου. Ἡ ἐπιδιόρθωσις τοῦ κειμένου εὕρηται: Marteni regula et comment. in regul. S. Benedicti, Paris. 1690,94,95.

συγγραμμάτων τῶν Πατέρων τῆς Ἐκκλησίας (1). Πρὸς δοκιμασίαν τῶν βουλομένων ἀναλαβεῖν τὸ μοναχικὸν σχῆμα ὁρίζει ὁ κανὼν ἓν ἔτος· τροφὴν ὁρίζει μετρίαν, ἐπιτρέπει τὴν χρῆσιν τοῦ οἴνου ἐν ὡρισμένῳ μέτρῳ, κωλύει τὴν κρεωφαγίαν, ἣν ὅμως ἐπιτρέπει τοῖς ἀσθενέσι(2). Μετὰ τῶν κανόνων τῆς εὐταξίας περιέχει ἐξαιρέτους πνευματικὰς ἅμα καὶ ἠθικὰς διδασκαλίας, ἰδίως δὲ περὶ ταπεινοφροσύνης(3).

(1) Ἐν τοῖς κατόπιν χρόνοις (ἀπὸ τοῦ 1621) οἱ Βενεδικτινοί, ἰδίως δὲ οἱ τοῦ τάγματος (congregationis) τοῦ ἁγίου Μαύρου (ἐν Γαλλίᾳ), πλείστην ὅσην παρέσχον τῇ Ἐκκλησίᾳ ὠφέλειαν τοῖς περὶ τὰ συγγράμματα τῶν πρώτων αἰώνων θαυμαστοῖς αὐτῶν πόνοις. Οἱ Martens, Durand, Martinay, Sabbatier, de la Rue, Maran, de Montfaucon, Mabillon ἔσονται ἐσαεὶ μνημονευόμενοι μετὰ σεβασμοῦ καὶ εὐγνωμοσύνης ἐπὶ τοῖς παντὸς ἐπαίνου καὶ θαυμασμοῦ ἀξίοις περὶ τὰ συγγράμματα τῶν ἁγίων τῆς Ἐκκλησίας Πατέρων πόνοις αὐτῶν. Βλ. Kühn, Sab. d. Verdienste d. Mauriner S. Tubinger theol. Quartalschrift. B. IV.

(2) Ἐπειδὴ ὁ ἅγιος Βενέδικτος ἐκώλυε τοῖς ὑγιέσι τὴν χρῆσιν τοῦ κρέατος τῶν τετραπόδων, ἐπέτρεπε δ᾽ αὐτὴν μόνον τοῖς ἀσθενέσιν, ἠβουλήθησαν ἐπεκτεῖναι μετὰ ταῦτα τὴν πρὸς τοὺς ἀσθενεῖς συγκατάβασιν καὶ εἰς τοὺς ὑγιεῖς, καὶ μάλιστα προέκυψε σοφὴ ἔρις περὶ τοῦ εἰ ἐπιτρέπει ὁ ἅγιος Βενέδικτος τὴν χρῆσιν τοῦ κρέατος τῶν πτηνῶν. Ὁ Mabillon ἀπέδειξεν, ὅτι ἡ χρῆσις τοῦ κρέατος καθόλου ἀπαγορεύεται. (Annal. Ord. S. Benedicti I. 376).

(3) Τὸ σύγγραμμα de ordine monasterii qualiter fratres studiose et religiose conversari, ac Domino militare debeant, τὸ ἀποδιδόμενον τῷ ἁγίῳ Βενεδίκτῳ (ed. ab. Arnoldo Wion, Venet. 1593), θεωρεῖται νόθον. Ἡ ἐπιστολὴ ad Remigium Archiepiscopum Rhemensem ἡ ἐκδοθεῖσα ἐν τῷ τέλει Chronici Cassinensis p. 198 (ed. Venet. 1513) μετὰ τῆς ἐπιστ. Monachorum Rhemensium ad fratres in Monte Cassino constitutos περί τινος δαιμονώσης, ἣν ἐθεράπευσεν ὁ ἅγιος Βενέδικτος, ἐπ᾽ ἴσης ἐστὶ νόθος. Ἐν Ρήμοις (Rheims) ἱδρύθη τὸ μοναστήριον τῶν Βενεδικτινῶν 200 ἔτη μετὰ τὸν θάνατον τοῦ ἁγίου Βενεδίκτου. Ὁ Mabillon οὐ θεωρεῖ γνησίαν καὶ τὴν ἐπιστολὴν ad S. Maurum. Πολλῷ δ᾽ ἧττον πιθανὴ ἡ γνησιότης Sermonis in discessu S. Mauri, sermo. in Passione S. Placidi et seniorum, καὶ Sentetiarum. ἐκδόθ. μετὰ τοῦ Κανόνος in Bibliotheca M. S. *Patrum*, *Lugduni* 1677. T. IX.

§. 226. Διάδοχος ὁ Φωτικῆς ἐπίσκοπος.

Διάδοχος, ὁ τῆς ἐν τῇ παλαιᾷ Ἠπείρῳ Φωτικῆς ἐπίσκοπος, ἤκμασε κατὰ τὸ δεύτερον ἥμισυ τοῦ πέμπτου αἰῶνος (1). Βίκτωρ ὁ Οὐϊταῖος (Vitensis) καλεῖ ἑαυτὸν ἐν τῷ προλόγῳ τῆς ὑπ' αὐτοῦ συγγραφείσης ἱστορίας τῶν Βανδάλων (τῷ 490), μαθητὴν τοῦ Διαδόχου, καυχώμενος ἐπὶ τούτῳ (2). Ὁ μακάριος Διάδοχος ὑπέγραψε μετὰ τῶν ἄλλων ἐπισκόπων τῆς παλαιᾶς Ἠπείρου τῇ πρὸς τὸν Αὐτοκράτορα Λέοντα ἐπιστολῇ (3). Τὰ ἄλλα περιστατικὰ τοῦ βίου αὐτοῦ εἰσιν ἄγνωστα πλὴν τοῦ ὅτι τὰ συγγράμματα αὐτοῦ καλοῦνται συγγράμματα «τοῦ ἁγίου Διαδόχου», καὶ ὅτι συναριθμεῖται τοῖς ἁγίοις ἱεράρχαις ἐν τῷ κανόνι τοῦ Σαββάτου τῆς Τυρινῆς. «Κατέλιπε, λέγει ὁ Βίκτωρ, πάνυ πολλὰ μνημεῖα ὀρθοδόξου διδασκαλίας, λάμποντα ὡς τὰ ἄστρα». Ὁ ἅγιος Σωφρόνιος παράγει μαρτυρίαν αὐτοῦ δογματικὴν ἐν τῇ κατὰ τοῦ μονοθελητισμοῦ ἐγκυκλίῳ αὐτοῦ ἐπιστολῇ (4). Οὐχ ἅπαξ ἐχρήσατο μαρτυρίαις ἐκ τῶν συγγραμμάτων αὐτοῦ καὶ ὁ ὅσιος Μάξιμος (5).

Τὰ νῦν γνωστὰ αὐτοῦ συγγράμματά εἰσι: α'] δύο λόγοι, ὧν ὁ εἷς εἰς τὴν Ἀνάληψιν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, περιέχει ἔκθεσιν τῆς ὀρθοδόξου διδασκαλίας περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Θεοῦ Λόγου (6), ὁ δ' ἕτερος «κατὰ Ἀρειανῶν», οἵτινες, ὡς γνωστόν, ἐπὶ μακρὸν χρόνον διέτριβον μετὰ τῶν Γότθων ἐν τῇ Αὐτοκρατορίᾳ (7).

β'] Λόγος ἀσκητικὸς διῃρημένος εἰς ἑκατὸν κεφάλαια πρακτικῆς γνώσεως καὶ διακρίσεως πνευματικῆς. Τῶν κεφαλαίων τούτων προτάσσονται δέκα ὅροι (8). Ὁ Πατριάρχης Φώτιος ἀποφαίνε-

(1) Φώτ. ἀνάγν. σα'.

(2) Praefat. ad libr. de perecut. Afric.

(3) Σύν. Χαλκηδ. ap. Mans. T. VIII p. 619.

(4) Φώτ. ἀναγν. σλα'.

(5) Τόμ. Α'. σελ. 103. Β'. σελ. 159, 168.

(6) Ἐξεδ. ὑπὸ Μαΐου in Spicil. Romano T. IV. Romæ, 1840, καὶ ὑπὸ τοῦ Μιγνίου in Patrol. Gr. T. LXV.

(7) Ἐξεδ. ὑπὸ Γαλλανδίου in T. V. Bibl. Patrum καὶ ὑπὸ Μιγνίου in Patrol Gr. T. LXV.

(8) Ἐξεδ. ὑπὸ Γαλλανδίου ἑλληνιστὶ καὶ λατινιστί. T. V.

ται περὶ τοῦ ἀσκητικοῦ τούτου λόγου ὧδε: «Καὶ ἔστιν οὗτος ὁ λόγος εἰς τὸ ἄριστον τοῖς ἀσκουμένοις συγκείμενος καὶ τοῖς ἐν αὐταῖς ἐγγεγυμνασμένοις ταῖς τελειοποιοῖς πράξεσιν οὐδ' ἀσαφές τι ἐμπαρεχόμενος· ἡ γὰρ διὰ πείρας γνῶσις εὐχερῶς τῆς διὰ λόγων ἐπιβατεύει διδασκαλίας»(1). Περὶ τοῦ ἀνεπιλήπτου τῆς διδασκαλίας αὐτοῦ μαρτυροῦσιν ἡ ἐπὶ παρουσίᾳ Ἀνδρονίκου τοῦ Παλαιολόγου συστᾶσα Σύνοδος, ὁ Θεσσαλονίκης Γρηγόριος, ὁ Θεσσαλονίκης Συμεών, ὁ Σιναΐτης Γρηγόριος, Κάλλιστος ὁ ἁγιώτατος, καὶ ἄλλοι συχνοί(2).

Ἐν τῷ ἀσκητικῷ λόγῳ τοῦ ἁγίου Διαδόχου ἑρμηνεύονται α΄] ἡ περὶ ἀσκήσεως ἔννοια (κεφ. 1, 4, 5, 93, 94, 96-98)· β΄] αἱ ἐνέργειαι τῆς χάριτος (κεφ. 2, 28, 29, 32, 35-39, 76, 79-87)· γ΄] αἱ ἐνέργειαι τοῦ Σατανᾶ (κεφ. 31, 76, 79-87)· δ΄] ἡ πρὸς τὸν Θεὸν ἀγάπη (κεφ. 12-15, 18, 20, 21, 23, 24, 34, 71, 74)· ε΄] αἱ ἐνέργειαι τοῦ εὐσεβοῦς νοῦ (κεφ. 6-11, 13, 22, 25-28, 30, 40, 58, 59, 61)· ς΄] αἱ ἐνέργειαι τῆς καρδίας, ἡ κατάστασις τῆς παραμυθίας (κεφ. 31, 32, 60)· ἡ προσευχὴ καὶ ἡ μετάνοια (κεφ. 68, 69, 73, 95, 100)· ἡ ὀργὴ (κεφ. 62)· ζ΄] αἱ ἐνέργειαι τῆς θελήσεως, ἡ ἀφιλοκέρδεια (κεφ. 63-66, 92), ἡ ἀντιζηλία (κεφ. 71)· ἡ ὑπακοὴ (κεφ. 41)· η΄] ἡ νηστεία (κεφ. 42-55, 99)· ἡ φυλακὴ τῶν ἐξωτερικῶν αἰσθήσεων (κεφ. 56-57)· καὶ ἡ ἐγκράτεια τῆς γλώσσης (κεφ. 70).

Περὶ τῆς ἀναφορᾶς τῆς ἀγάπης πρὸς τὸν φόβον λέγει τάδε: «Οὐδεὶς δύναται, μὴ πρότερον φοβηθεὶς τὸν Θεὸν ἐν αἰσθήσει καρδίας, ἀγαπῆσαι Αὐτὸν ἐν ὅλῃ καρδίᾳ. Διὰ γὰρ τῆς ἐνεργείας τοῦ φόβου ἀγωνιζομένη, καὶ ἀπαλυνομένη, ὥσπερ ἡ ψυχή, εἰς ἀγάπην ἐνεργουμένην ἔρχεται. Οὐκ' ἂν δέ τις εἰς φόβον ἔλθῃ Θεοῦ τῷ εἰρημένῳ τρόπῳ, εἰμὴ πασῶν τῶν βιωτικῶν ἔξω γένηται φροντίδων. Ὅταν γὰρ ἐν ἡσυχίᾳ πολλῇ καὶ ἀμεριμνίᾳ γένηται ὁ νοῦς, τότε αὐτῷ ὀχλεῖ ὁ φόβος τοῦ θεοῦ, καθαρίζων αὐτὸν ἐν αἰσθήσει πολλῇ ἀπὸ πάσης τῆς γεώδους παχύτητος, ἵν' οὕτως αὐτὸς εἰς πολλὴν ἀγά-

(1) Ἀναγν. σα΄.

(2) Βλ. Προλεγόμ. εἰς τὰ Κεφάλαια τοῦ ἁγίου Διαδόχου ἐν τῇ Φιλοκαλίᾳ.

πην ἀγάγῃ τῆς ἀγαθότητος τοῦ Θεοῦ. Ὥστε ὁ μὲν φόβος τῶν ἔτι καθαριζομένων ἐστὶ δικαίων μετὰ μεσότητος ἀγάπης· ἡ δὲ τελεία ἀγάπη τῶν ἤδη καθαρισθέντων, ἐν οἷς οὐκ ἔστι φόβος. Ἡ γὰρ τελεία ἀγάπη, φησίν, ἔξω βάλλει τὸν φόβον. Ἀμφότερα δικαίων ἐστὶ μόνον, οἵτινες ἐνεργείᾳ τοῦ ἁγίου Πνεύματος τὰς ἀρετὰς κατεργάζονται ».

§. 227. Ἀνατόλιος ὁ Κωνσταντινουπόλεως Ἀρχιεπίσκοπος.

Ὁ μακάριος Ἀνατόλιος ἦν τὰ πρῶτα πρεσβύτερος καὶ ἀποκρισάριος τῆς Ἀλεξανδρέων Ἐκκλησίας. Οἱ Εὐτυχιανοί, νομίζοντες ὁρᾷν ἐν αὐτῷ ὁμόφρονα αὐτοῖς, ἐχάρησαν ὅτε ἐξελέγη Πατριάρχης Κωνσταντινουπόλεως ἀντὶ τοῦ ὑπ' αὐτῶν φονευθέντος ἁγίου Φλαβιανοῦ. Ἀλλ' οὗτος, ἀναβὰς ἐπὶ τὸν θρόνον, κατεδίκασε τὴν διδασκαλίαν τοῦ Εὐτυχοῦς ἐν τοπικῇ συνόδῳ, συγκροτηθείσῃ (τῷ 450) ἐν Κωνσταντινουπόλει (1). Ἔπειτα δὲ τῷ 451 κατὰ τὴν ἐν Χαλκηδόνι τετάρτην Οἰκουμενικὴν Σύνοδον, ἔνθα ἦν προεδρεύων (2), κατεδικάσθησαν τῇ φωνῇ ἁπάσης τῆς Ἐκκλησίας ὁ Εὐτυχὴς καὶ ὁ ἐμμανὴς αὐτοῦ πρόμαχος Διόσκορος ὁ Ἀλεξανδρείας· ὁ δὲ θρόνος τῆς Κωνσταντινουπόλεως ἔλαβε τὰ ἴσα πρεσβεῖα τῷ τῆς πρεσβυτέρας Ῥώμης, καί περ παντὶ σθένει ἀνθισταμένων τούτῳ τῶν τοῦ Πάπα τοποτηρητῶν(3). Τῷ 455 κατεδίκασεν ἅπαξ ἔτι τὸν Εὐτυχέα καὶ τὸν Διόσκορον, σὺν τούτοις δὲ καὶ Τιμόθεον τὸν Αἴλουρον(4). Θεόδωρος ὁ Ἀναγνώστης ἀναφέρει παράδειγμα τοῦ πρὸς τὸν Αὐτοκράτορα ταπεινοῦ σεβασμοῦ δειχθὲν ἐν λιτῇ ὑπὸ τοῦ Ἀνατολίου (5). Τὸ ἀρχαῖον ἑλληνικὸν Συναξάριον λέγει, ὅτι ὁ θεῖος οὗτος Πα-

(1) Πρ. Δ'. τῆς ἐν Χαλκηδ. Συν.

(2) Γερμανοῦ, Λόγος διηγηματ. περὶ τῆς ἁγίας Συνόδου καὶ τῶν κατὰ καιροὺς ἀνέκαθεν τῷ ἀποστολικῷ κηρύγματι ἀναφυεισῶν αἱρέσεων, κεφ. 28 apud Maium Spicileg. Roman. T. VII. p. 42.

(3) Εὐάγρ. Ἐκκλ. ἱστορ. β'. 3. χρον. τῆς Ἐδέσσης in Assem. Biblioth. s. 137. Μαρκελλῖνος, Θεοφάνης, Γλυκᾶς.

(4) Συνοδικὸν ἀρχ. ap. Fabric. Biblioth. Gr. T. XIII. 340. 395. 396.

(5) Ἐκκλ. ἱστορ. α'. 2. Κατὰ τὸ ἔθος, λέγει ὁ Θεόδωρος, ἔφερον τὸν Πατριάρχην φορείῳ ἐν ταῖς λιταῖς· ἀλλ' ὁ Ἀνατόλιος ἰδὼν τὸν

τὴρ ὀρθοδόξως τὴν Ἐκκλησίαν ποιμάνας (ὀκτὼ ἔτη καὶ ὀκτὼ μῆνας), ἀδίκῳ θανάτῳ ὑπὸ τῶν αἱρετικῶν ἀναιρεῖται τῷ 458, διάδοχον αὐτοῦ καταλείψας τὸν ἁγιώτατον Γεννάδιον (1).

Ὁ Πατριάρχης ἔγραψεν ἐπιστολὴν πρὸς τὸν Πάπαν Λέοντα περὶ τῆς κατὰ Χαλκηδόνα Συνόδου, κατ᾽ ἐξοχὴν δὲ γνωστός ἐστι τῇ Ἐκκλησίᾳ ἐκ τῶν Στιχηρῶν αὐτοῦ εἰς τὰς Κυριακάς, εἴς τινας Δεσποτικὰς ἑορτάς, ὡς εἰς τὴν Γέννησιν τοῦ Χριστοῦ καὶ εἰς τὰ Θεοφάνεια, εἰς ἑορτὰς Μαρτύρων, ὡς τοῦ Παντελεήμονος, τοῦ Γεωργίου, τοῦ Δημητρίου, καὶ ἄλλων ἁγίων. Τὸ γνήσιον τῶν στιχηρῶν τοῦ μακαρίου Π. Ἀνατολίου δείκνυται ἔκ τε τῶν χειρογράφων καὶ ἐξ ἱστορικῶν περιστατικῶν· ὁ Σεβῆρος μετέφρασεν εὐθὺς μετὰ τὸν Ἀνατόλιον τὰ ἑλληνικὰ στιχηρὰ εἰς τὴν τῶν Σύρων γλῶσσαν (2), ἐνῷ ἄλλα στιχηρὰ ἐκείνου τοῦ χρόνου ἐκτὸς τῶν τοῦ Ἀνατολίου εἰσὶν ἄγνωστα. Ὁ μακάριος Θεοδώρητος ἔγραψεν: « Ἀντὶ γὰρ τῶν Πανδίων, καὶ Διασίων, καὶ Διονυσίων, καὶ τῶν ἄλλων ὑμῶν ἑορτῶν, Πέτρου καὶ Παύλου, καὶ Θωμᾶ, καὶ Σεργίου, καὶ Μαρκέλλου, καὶ Λεοντίου, καὶ Παντελεήμονος, καὶ Ἀντωνίου, καὶ Μαυρικίου, καὶ τῶν ἄλλων μαρτύρων τελοῦνται Δημοθηνίαι» (3). Τὰ Στιχηρὰ τοῦ Ἀνατολίου συνετέθησαν κατὰ μίμησιν τῶν τῆς Π. Δ. ποιητικῶν συγγραμμάτων, τῶν ψαλμῶν δηλονότι καὶ τῶν παροιμιῶν, ἀρχῆθεν καλουμένων στιχηρῶν (4). Διαιροῦνται δ᾽εἰς μικρὰ μέρη, ἀλλήλοις ἀνταποκρινόμενα, καθάπερ οἱ ἑβραϊκοὶ στίχοι. Κατὰ δὲ τὴν ἐξωτερικὴν σύνθεσιν οὐδὲν ἄλλο εἰσίν, ἢ ὕμνοι μετὰ προτασσομένων αὐτῶν στίχων τῆς

Αὐτοκράτορα πεζεύοντα, καὶ αὐτὸς πεζεύων ἐλιτάνευε.

(1) Ἡ μνήμη αὐτοῦ τῇ γ´ Ἰουλίου. Μνημονεύεται καὶ ἐν τῷ κανόνι τοῦ Σαββάτου τῆς Τυρινῆς.

(2) Ὁ Βάρ-Ἑβραῖος γράφει ὅτι « ὁ Σεβῆρος (αἱρετικός), ἀναβὰς ἐπὶ τὸν θρόνον τῆς Ἀντιοχείας τῷ 512), μετέφρασεν ἐκ τῆς ἑλληνικῆς γλώσσης εἰς τὴν συριακὴν ἐκκλησιαστικοὺς ὕμνους, συμπληρώσας αὐτοὺς διὰ στίχων ἐκ τοῦ Ψαλτηρίου καὶ δι᾽ἰδίων αὐτοῦ δοξασιῶν Assem. B. O. I. p. 168.

(3) Ἑλλην. θεραπευτ. παθημ. Λόγ. η´.

(4) Γρηγ. ὁ Ναζ. «Αἱ δὲ στιχηραὶ πέντε, ὧν πρῶτος Ἰὼβ . . . » (Ἆσμ. λγ´), Πολυχρόν. «Στιχηρὰ βιβλία ὑπό τι μέτρον ἑβραϊκὸν ἐλέχθη» (Προλέγ. εἰς Ἰώβ). Τὸ αὐτὸ λέγει ὁ Ἀμφιλόχιος (Ἰαμβ. εἰς Σέλευκον), καὶ ὁ Ἐπιφάνιος (περὶ μέτρ. καὶ σταθμ.).

Π. Δ. Ἐντεῦθεν δὲ πρόδηλον, ὅτι συνετέθησαν κατὰ μίμησιν αὐτῶν ἀντικαθιστάντα τὰς ἰουδαϊκὰς δοξασίας χριστιανικαῖς. Τὰ χριστιανικὰ στιχηρὰ κατὰ τὴν ὑπόθεσιν ἀντικατέστησαν τὰς ἀναγνώσεις τῶν βίων, ἐνῷ πρότερον ἑώρταζον τὰς τῶν ἁγίων ἡμέρας πρὸς τοῖς ἄλλοις καὶ διὰ τῆς ἀναγνώσεως τῶν πράξεων αὐτῶν (¹).

§. 228. Γεννάδιος ὁ Κωνσταντινουπόλεως Πατριάρχης.

«Ἀνατολίου τελευτήσαντος, γράφει Θεόδωρος ὁ Ἀναγνώστης, Γεννάδιος προχειρίζεται, πρεσβύτερος τῆς Ἐκκλησίας (Κωνσταντινουπόλεως), Ἀκακίου τοῦ ὀρφανοτρόφου συμψήφου γενομένου. . . . Οὗτος οὐδένα ἐχειροτόνει, τὸ ψαλτήριον μὴ γινώσκοντα. Ἐπὶ Γενναδίου ἡ χεὶρ τοῦ ζωγράφου ἐξηράνθη, τοῦ ἐν τάξει Διὸς τὸν Σωτῆρα γράψαι τολμήσαντος, ὃν δι᾽ εὐχῆς ἰάσατο Γεννάδιος. Πρὸς βασιλέα ἐλθὼν Μαρτύριος (ὁ Ἀντιοχείας), σὺν τιμῇ πολλῇ ἀπελύθη, σπουδῇ καὶ παραινέσει Γενναδίου . . . Μαρτυρίου ἀναχωρήσαντος (ἐξ Ἀντιοχείας), τυρρανικῶς ὁ Κναφεὺς τῷ θρόνῳ ἐπεπήδησε, καὶ χειροτονεῖ εὐθὺς ἐπίσκοπον Ἀπαμείας Ἰωάννην τινὰ ἀπὸ καθαιρέσεως. Γνοὺς δὲ ταῦτα Γεννάδιος, διδάσκει ταῦτα πάντα τὸν βασιλέα, ὁ δὲ κελεύει τὸν Κναφέα πεμφθῆναι εἰς ἐξορίαν . . . Γεννάδιος νυκτὸς κατελθὼν εἰς τὸ θυσιαστήριον εὔξασθαι, εἶδέ τι φάσμα δαιμόνιον, ᾧ ἐπιτιμήσας ἤκουσε κράζοντος, ὡς αὐτοῦ μὲν ζῶντος, ἐνδίδωσιν, ὕστερον δὲ λυμαινεῖσθαι πάντως τὴν Ἐκκλησίαν. Ὅπερ δείσας ὁ Γεννάδιος πολλὰ τὸν θεὸν ἱκετεύσας, μετὰ μικρὸν ἐτελεύτησε» (τῷ 471) (²). Γεννάδιος, ὁ Μασσαλίας πρεσβύτερος, γράφει περὶ τοῦ ἁγίου Γενναδίου: «Ἦν ἀνὴρ εὐφραδὴς καὶ ἀγχίνους· ὑπεμνημάτισε τὸν Προφήτην Δανιήλ, καὶ πολλὰς ὁμιλίας συνέταξε» (³).

Δυστυχῶς τῶν συγγραμμάτων τούτων ἡμῖν ὁ βιβλιολάθας χρόνος ἐφθόνησε. Σῴζεται δ᾽ αὐτοῦ ἡ κατὰ Σιμωνιακῶν ἐγκύκλιος καὶ κανονικὴ ἐπιστολή. Πολλοῦ δ᾽ ἀξία ἡ ἐπιστολὴ αὕτη καὶ κατὰ τοῦτο, ὅτι ὑπέγραψαν αὐτῇ πγ΄. ποιμένες, ὧν αἱ ὑπογραφαὶ δηλοῦσιν ἡμῖν τὴν τάξιν τῶν ἱεραρχικῶν θρόνων ἐκείνου τοῦ χρόνου (⁴).

(¹) Cyprian. Ep. LXXII. ad presbyteros. August. de civit Dei lib XXII. c. 8. Concil. Carthagen. c. 46.—

(²) Ἐκλογαὶ ἐκ τῆς ἱστορ. τοῦ Θεοδώρου Α΄. 13, 15, 20, 21, 26.

(³) De Script. c. 90.

(⁴) Αἱ ὑπογραφαὶ διεσώθησαν ἐν

Ἡ ἐπιστολὴ αὕτη ἔχει ὧδε: « Ὁ Δεσπότης ἡμῶν καὶ Θεός, καὶ Σωτὴρ Ἰησοῦς Χριστός, ἐγχειρίσας τοῖς ἁγίοις Αὐτοῦ μαθηταῖς τοῦ Εὐαγγελίου τὸ κήρυγμα, καὶ διδασκάλους τούτους ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἀνθρώποις ἐξαποστείλας, παρεκελεύσατο διαρρήδην, ἣν εἰλήφασι παρ' Αὐτοῦ δωρεάν, ταύτης καὶ αὐτοὺς τοῖς ἀνθρώποις μεταδιδόναι δωρεάν, μὴ κτωμένους ὑπὲρ αὐτῆς χαλκόν, ἢ ἄργυρον, ἢ χρυσόν, ἤ τινα περιουσίαν, ἄλλως ὅλως ὑλικήν, ἢ γεώδη· μὴ γὰρ εἶναι τῶν ἐπουρανίων καὶ πνευματικῶν χαρισμάτων ἀμοιβὴν τὰ γεηρὰ καὶ ἐπίκηρα. Ταύτην τὴν ἐντολὴν οὐ μόνον ἐκείνοις, ἀλλὰ καὶ ἡμῖν δι' ἐκείνων ἐνετείλατο, οὓς εἰς τὸν ἐκείνων βαθμόν τε καὶ τόπον ὑπεισαγαγεῖν κατηξίωσε. Καὶ δὴ καθάπερ ἐκεῖνοι τότε, καὶ ἡμᾶς νῦν ἀκριβῶς φυλάττειν τε καὶ παρατηρεῖν, καὶ μὴ σοφίζεσθαι τὰ ἄσοφα, μηδὲ κύβον ἀναρρύπτειν ἐπικίνδυνον. Δωρεάν, φησιν, ἐλάβετε, δωρεὰν δότε, μὴ κτήσάμενοι χαλκόν, μηδὲ ἄργυρον, μήτε χρυσὸν εἰς τὰς ζώνας ὑμῶν (Ματθ. ι'. 9). Ἁπλοῦς καὶ σαφὴς ὁ τῆς ἐντολῆς ταύτης λόγος ἐστίν, οὐδὲν ποικίλον ἔχων, οὐδὲ σοφιστικῆς δεόμενον ἐξηγήσεως. Παρ' ἐμοῦ, φησιν, ἐδέξασθε τὸ τῆς ἱερωσύνης ἀξίωμα, εἰ μὲν ὑπὲρ αὐτοῦ μοι μικρόν, ἢ μέγα τι κατεβάλλεσθε, καὶ τοῦτο ὑμῖν πέπραται παρ' ἐμοῦ, πωλεῖτε καὶ ὑμεῖς ἑτέροις αὐτό. Εἰ δὲ δωρεὰν εἰλήφατε, δότε δωρεὰν καὶ ὑμεῖς . . . . Ὅμως ἐπειδὴ νῦν, καίτοι προδήλως τούτων οὕτω κεκαλυμμένων, ἐφωράθησάν τινες κατὰ τὴν Γαλατῶν ὀλιγωροῦντες, καὶ παραβαίνοντες δι' αἰσχροκέρδειαν καὶ φιλαργυρίαν τὰ σωτήρια ταῦτα καὶ φιλάνθρωπα παραγγέλματα, εὖ ἔχειν ἔδοξε καὶ ἡμῖν ταῦτα πάλιν ἀνανεώσασθαι μετὰ τῆς ἁγίας Συνόδου, τῆς ἐνδημούσης ἐν ταύτῃ τῇ βασιλευούσῃ νέᾳ Ῥώμῃ, ὥστε δίχα πάσης ἐπινοίας, καὶ πάσης προφάσεως, καὶ παντὸς σοφισμοῦ, τὴν βδελυρὰν ταύτην καὶ ἀσεβῆ οὐκ οἶδ' ὅπως ἐπεισελθοῦσαν συνήθειαν ταῖς ἁγιωτάταις Ἐκ-

πολλοῖς χειρογράφοις καὶ ἐξεδόθησαν ὑπὸ Λαμβεσίου (Comment. Vind l. VIII. p. 176-78), ὑπὸ Λεουγκλαβίου (Jus. p. 187), καὶ ὑπὸ Γαρδουΐνου (Concil. II.). Ἐν τῷ βιβλίῳ τῶν κανόνων, τῷ ἐκδοθέντι ἐν Πετρουπόλει τῷ 1839 οὐχ ὑπάρχουσιν αἱ ὑπογραφαί, καὶ μόνον εἴρηται: «Τούτῳ τῷ ἐπιστολιμαίῳ λόγῳ σὺν αὐτῷ δὴ τῷ Γενναδίῳ ὑπέγραψαν καὶ οἱ ογ'. » Ἀλλ' ἔδει εἰπεῖν: ὀγδοήκοντα κ. τ. λ.

κλησίαις παντελῶς ἐκτεμεῖν, ἵνα ἀληθῶς ἀκαπηλεύτου καὶ καθαρᾶς παρὰ τῶν ἀρχιερέων τῆς ἐπὶ τῶν χειροτονουμένων ἀναρρήσεως γινομένης, ἄνωθεν ἡ τοῦ πνεύματος χάρις ἐπιφοιτᾷ· ὧν νῦν μὲν οὐκ οἶδα διὰ χρημάτων τὴν προβολὴν ποιουμένων, καὶ οὐ τῆς χειρὸς καθαρῶς ἐνεργούσης, ἐπιφοιτᾷ τῷ προχειριζομένῳ κατὰ τὴν φωνὴν τοῦ κηρύγματος, καὶ οὐχὶ συστέλλεται μᾶλλον ἡ τοῦ ἁγίου Πνεύματος χάρις. Ἴστι τοίνυν τὰ πάντα θεοσεβέστατε, πάντα τὸν ὁντιναοῦν ἁλίσκομεν ἐπὶ τῷ τοιούτῳ τινί ἐπίσκοπον, ἢ χωρεπίσκοπον, ἢ περιοδευτὴν, ἢ πρεσβύτερον, ἢ διάκονον, ἢ ἄλλον τινὰ δήποτε τοῦ κανόνος, ἢ λαϊκόν, κοινῷ δόγματι τῶν ἀρχιερέων κατακεκρίσθαι, καὶ κοινῇ ψήφῳ, καθὼς περὶ τούτου καὶ ὁ τῶν ἁγίων Πατέρων (τῆς ἐν Χαλκηδόνι Συνόδου) κανὼν φθάσας διαλαλεῖ . . . . »

§. 229. Ρωμανὸς ὁ Μελῳδός.

Ὁ ἐν ἁγίοις Ρωμανός, ἐν Ἐμέσῃ τῆς Συρίας γεννηθεὶς καὶ ἐκπαιδευθείς, ἦν ἀναγνώστης τῆς ἐν Βηρυτῷ Ἐκκλησίας. Ἐπὶ τοῦ Αὐτοκράτορος Ἀναστασίου (τῷ 503-509) καταλαβὼν τὴν Κωνσταντινούπολιν, κατέμενεν ἐν τῷ ναῷ τῆς Θεομήτορος, τῷ ἐν τοῖς Κύρου ἐν εὐλαβείᾳ διάγων. Οὐκ ἀρκούμενος δὲ τοῖς ἐν τῷ ναῷ πόνοις, μετέβαινε νυκτὸς εἰς πεδίον τι οὐ πόρρω τῆς πόλεως κείμενον, ὅπως προσεύχητε μόνος, ἢ διενυκτέρευεν ἐν τῇ παννυχίδι τῶν Βλαχερνῶν. Διορισθεὶς ἀναγνώστης τοῦ τῆς ἁγίας Σοφίας ναοῦ, διέπρεπεν ἐπὶ ὑπακοῇ,, ἀλλ᾽ οὐ καὶ ἐπὶ τῇ περὶ τὸ ψάλλειν καὶ ἀναγινώσκειν δεξιότητι. Ὁ Π. Εὐθύμιος (τῷ 490-504) διέκειτο πρὸς αὐτὸν πάνυ εὐνοϊκῶς, ἅτε δὴ λίαν εὐλαβῆ ὄντα· ἀλλ᾽ ἐκ τούτου κατέστη μισητὸς τοῖς ἐν τῷ ναῷ συνεταίροις αὐτοῦ (¹). Κατὰ τὸν ἑσπερινὸν τῆς παραμονῆς τῆς Χριστοῦ Γεννήσεως καταγελασθεὶς ὑπὸ τῶν ἐχθρικῶς πρὸς αὐτὸν ἐχόντων κληρικῶν, οἳ ἠνάγκασαν αὐτὸν ἀναβῆναι ἐπὶ τὸν ἄμβωνα καὶ ψᾶλαι, ἔπεσε μετὰ τὸ τέλος τῆς ἀκολουθίας πρὸ τῆς εἰκόνος τῆς Θεομήτορος, πικρῶς κλαίων. Τοῦτο ἐγένετο ἐν τῷ ναῷ τῶν Βλαχερνῶν. Δακρύοις βεβρεγμένος, ἐπανῆλθεν εἰς τὸ κελλίον αὐτοῦ καὶ μηδὲν ἐκ τῆς λύπης φαγών, εἰς ὕπνον κατηνέχθη. Τότε ἐπιφανεῖσα ἡ

(¹) Συναξάρ. α΄. Ὀκτωβρίου.

παναγία Παρθένος μετέδωκεν αὐτῷ τὴν τοῦ ποιεῖν ὕμνους δωρεάν (1). Μετὰ τοῦτο ἐχειροτόνησε αὐτὸν διάκονον ὁ Πατριάρχης. Ὁ ὅσιος Ρωμανὸς ἀνεπαύθη ἐν Κυρίῳ περὶ τὸ 510 σωτήριον ἔτος (2).

Μάρκος ὁ Ἐφέσου γράφει: «τῶν Κοντακίων Ποιητὴς ὁ θαυμαστός ἐστι Ρωμανός, ὃς παρὰ τῆς Θεοτόκου τοῦτο τὸ χάρισμα εἴληφεν, ἐπιφανείσης αὐτῷ καθ' ὕπνους καὶ τόμον χάρτου ἐπιδούσης, καὶ κελευσάσης καταφαγεῖν, ὃ καὶ ποιῆσαι δόξας, εὐθὺς ἀναστάς, ἡμέρα δὲ ἦν τῶν Γεννεθλίων, ἀναβὰς ἐπ' ἄμβωνος, ἤρξατο ψάλλειν: Ἡ Παρθένος σήμερον, ἔκτοτε ποιήσας καὶ τὰ λοιπά. Διὰ γοῦν ἐκεῖνον τὸν τόμον Κοντάκια ταῦτα καλοῦνται. Τόμος γὰρ τὸ Κοντάκιον. Ὁ αὐτὸς πεποίηκε καὶ τοὺς Οἴκους, ψαλλομένους καὶ αὐτοὺς πρότερον σὺν τοῖς Κοντακίοις ἐν μόνοις τοῖς εὐαγέσιν οἴκοις, ἐν οἷς ἐκεῖνος ὁ ἱερὸς ἀνὴρ παννυχίζειν εἰώθει. Διὸ καὶ τὴν κλῆσιν ταύτην ἐδέξαντο».

Ἐν τῷ Μηνολογίῳ τοῦ Βασιλείου καὶ ἐν τῇ ὑπὸ τοῦ μοναχοῦ Ἀγαπίου γραφείσῃ Ἁμαρτωλῶν σωτηρίᾳ ἀναγινώσκομεν, ὅτι ὁ ὅσιος Ρωμανὸς συνέταξεν ὑπὲρ τὰ χίλια Κοντάκια. Ἐν τῷ ἑλληνικῷ Ἐξαποστειλαρίῳ ψάλλει ὁ ψάλτης περὶ τῶν συγγραμμάτων τοῦ Ρωμανοῦ ὧδε: Ἐνθεοπνεύστοις ᾄσμασι κατετράνωσας, μάκαρ, τὴν τοῦ Χριστοῦ ἀπόρρητον, θείαν οἰκονομίαν, καὶ ὕμνοις ἔστεψας πάντας, Ρωμανέ, τοὺς Ἁγίους· μεθ' ὧν φαιδρῶς ἀνύμνησας τὴν ἁγνὴν καὶ Παρθένον, καὶ ἀληθῆ τοῦ Θεοῦ Μητέρα, πάνσοφε Πάτερ· μεθ' ἧς ἡμῶν μνημόνευε παρεστὼς τῇ Τριάδι» (3). Ἀκριβεστέραν εἴδησιν περὶ τῶν ὕμνων τοῦ ἁγίου Ρωμανοῦ, προσφέρει ἓν ἀρχαῖον ἑλληνικὸν Κοντακάριον(4). Ἐν αὐτῷ ὑπάρχουσι Κοντάκια καὶ οἶκοι μετὰ τῆς ἀκροστιχίδος τοῦ ταπεινοῦ Ρωμανοῦ ἢ τοῦ ταπεινοῦ

(1) Οὐ μόνον ἐν τῷ Μην. καὶ τῷ Συναξαρ. γίγνεται περὶ τούτου λόγος, ἀλλὰ καὶ ἐν τῷ ὑπὸ τοῦ Δαμασκηνοῦ ποιηθέντι κανόνι καὶ ἐν τῷ Μηνολογ. τοῦ Βασιλείου.

(2) Ἡ μνήμη αὐτοῦ τῇ α΄ Ὀκτωβρ.

(3) Acta sanct. ad. I Octobr. p. 58.

(4) Εὑρίσκεται ἐν τῇ συνοδ. Βιβλθ. τῆς Μόσχας, καὶ ἐγράφη, κατὰ τὸν Mathaei, τῷ ιγ΄. αἰῶνι.